This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

B29

A 858,983

1817
ARTES
VERITAS
SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

v/7. 3116
.88
E8
B2

EURIPIDIS

MEDEA

SCHOLARUM IN USUM

EDIDIT

TH. BARTHOLD.

(METRA RECENSUIT W. CHRIST.)

PRAGAE
SUMPTUS FECIT F. TEMPSKY.

LIPSIAE
SUMPTUS FECIT G. FREYTAG.

MDCCCLXXXVI.

librum perlustraverit, mihi visus est diffidere Niebuhrii adulescentis diligentiae, cuius ex collatione Matthiaeo concessa fluxerunt, quae ceterorum in editionibus de codicis Havn. lectionibus traduntur. Sed cum nimis pauca nobiscum communicaverit Prinzius, ipse eum librum contuli eiusque lectiones non minus copiose quam ceterorum codicum dedi. Recentioris manus correcturas nullas commemoravi, quippe quas e Palat. 98, apographo libri B, factas esse evicerit Kirchhoffius.

Ceteros codices denuo excutere post Prinzii spectatam diligentiam inutile esse duxi.

Libri LP(S) tot Medeae locis meliora praebent libris ceteris, ut dubitem, an deterioris eos ordinis esse non recte iudicetur.

Omnium librorum auctoritatem ut in Hippolyto sic in Medea recensenda saepenumero neglexi. Quod si quis nimis confidenter me et aliorum et mea inventa in textum, quem vocant, recepisse arguat, maxime discipulorum usui me consuluisse cogitet. Ceterum quidni ei, qui quam acerrimo potuit iudicio rerum difficultates examinavit, concedatur, ut, quae vera esse sibi persuasit, 'usu splendere' cum gaudio videat? Quibus autem rationibus commotus haec illa ausus sim, scriptiuncula aliqua tum ego exponam, cum criticorum iudicia audivero, ut aut illorum impetus reiciam aut, meliora edoctus, mea me abiecisse confitear.

ΜΗΔΕΙΑ

ΥΠΟΘΕΣΙΣ.

Ἰάσων εἰς Κόρινθον ἐλθών, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται καὶ τὴν Κρέοντος τοῦ Κορινθίων βασιλέως θυγατέρα Γλαύκην ῥὸς γάμον. μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος κ τῆς Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι καὶ υχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ λαύκῃ ἐσθῆτα καὶ χρυσοῦν στέφανον, οἷς ἐκείνη χρησαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα ἐπὶ ἅρματος δρακόνων πτερωτῶν ὃ παρ᾽ Ἡλίου ἔλαβεν ἔποχος γενομένη ἀποδιδράσκει ἰς Ἀθήνας κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης δὲ αὶ Σιμωνίδης φασὶν ὡς ἡ Μήδεια ἑψήσασα τὸν Ἰάσονα νέον τοιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς Νόστους ποιήας φησὶν οὕτως·

> αὐτίκα δ᾽ Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,
> γῆρας ἀποξύσασα ἰδυίῃσι πραπίδεσσι,
> φάρμακα πόλλ᾽ ἕψουσ᾽ ἐπὶ χρυσείοισι λέβησιν.

Αἰσχύλος δὲ ἐν ταῖς Διονύσου Τροφοῖς ἱστορεῖ ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα ἐνεοποίησε.

---

2 *Γλαύκην πρὸς γάμον* om. C 4 *πρὸς*] *ὡς* F, om. E (Brunck), *εἰς* Nauck 6 *χρησαμένη* CE al] *διαχρησαμένη* cet. 7 *ἀπόλλυται* a] *συναπόλλυται* l, *ἀπώλετο* cet. 10 *κἀκεῖ* l, *κακεῖσε* expunctis litteris *σε* C 11 *ἑψήσασα* CF, *ἑψ.* E] *ἀνεψήσασα* cet., *ἀφεψήσασα* et hic et 18 Elmsley 12 *ἐποίησε* S, *ποίησε* C 14 *ἡβώοντα* Lascaris] *ἡβώωντα* Ea, *ἡβόωντα* cet. 15 *ἀποξύσασα* Elmsley] *ἀποξύσασ᾽* (*ἀποψύξασ᾽* C) *ἰδυίῃσι* a et schol. Aristoph.] *εἰδυίῃσι* fere cet. 16 χρυσείοισι l et schol. Aristoph.] *χρυσείῃσι (et λέβῃσιν)* C, *χρυσίῃσι* B, *χρυσέοισι* EFaP 17 τροφαῖς BCP. Διονύσου videtur delendum Elmsleio 18 ἐζωοποίησε S

Στάφυλος δέ φησι τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι· ἐγκελεύσασθαι γὰρ αὐτὴν τούτῳ ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς κατακοιμηθῆναι μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου· ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι τελευτῆσαι αὐτόν.

Τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι παρὰ Νεόφρονος διασκευάσας, ὡς Δικαίαρχος . . . περὶ τοῦ τῆς Ἑλλάδος βίου καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασι. μέμφονται δὲ αὐτῷ τὸ μὴ πεφυλαχέναι τὴν ὑπόκρισιν τῇ Μηδείᾳ, ἀλλὰ προπεσεῖν εἰς δάκρυα, ὅτε ἐπεβούλευσεν Ἰάσονι καὶ τῇ γυναικί. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν καὶ ἡ ἐπεξεργασία 'μηδ' ἐν νάπαισι' καὶ τὰ ἑξῆς. ὅπερ ἀγνοήσας Τιμαχίδας τῷ ὑστέρῳ φησὶ πρώτῳ κεχρῆσθαι, ὡς Ὅμηρος·

εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λούσασα.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕΣΙΣ.

Μήδεια διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν τῷ ἐκεῖνον γεγαμηκέναι τὴν Κρέοντος θυγατέρα ἀπέκτεινε μὲν Γλαύκην καὶ Κρέοντα καὶ τοὺς ἰδίους υἱούς, ἐχωρίσθη δὲ Ἰάσονος Αἰγεῖ συνοικήσουσα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ, ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτίδων. προλογίζει δὲ τροφὸς Μηδείας.

---

2 *τούτῳ* ego] *οὕτω* Fa, *οὕτως* cet. 4 *ἐμπεσούσης* BC *γοῦν*] *γὰρ* BS 5 desunt extrema a verbis *παρὰ Νεόφρονος* in B, a verbis *τὸ δρᾶμα* in L; om. 5 *τὸ δρᾶμα* — 12 *λούσασα* in a, in P haec inter *Μηδείας* et *ἐδιδάχθη* 9, 1 collocata *παραβαλέσθαι* C *παρὰ νεόφρονος* d] *περὶ νεόφρονος* F, *παναιόφρονος* P, *πάνυ ἀφρόνως* C, *γενναιοφρόνως* E 6 *ὡς*– 7 *ὑπομνήμασι* om. P . . . Prinz] *ἐν ά* Klotz, *ἐν γ*¹ Wecklein, *ἐν τῷ τετάρτῳ* Madvig, *ἐν τῷ π. Ἑλ. β.* Kirchhoff *περὶ τοῦ τῆς* Klotz] *περὶ τοῦ, τε* E, *τοῦ τε* cet. 7 *τὸ* Brunck] *τὸῶ* d, *τῷ* cet. (om. P) *πεφυλαχέναι* Nauck] *πεφυλακέναι* 8 *τὴν Μήδειαν* Beck *προπεσεῖν* Kirchhoff] *προσπεσεῖν* CFP, *πεσεῖν* E 12 *τ'* Brunck ex Od. ε, 264] *δ'* 14 *διὰ*] *δυσφοροῦσα* C *Ἰάσονος* C 15 *γλαύκην καὶ κρέοντα* CP] *γλαύκην κρέοντα* EF, *κρέοντα* a, *γλαύκην* a¹ˢ 16 *συνοικήσουσα* Lascaris] *συνοικήσασα* 18 *ἡ μὲν* — 19 *Μηδείας* om. CF, post indicem personarum leguntur haec in d; ἡ μὲν . . . πολιτίδων

ϑη ἐπὶ Πυϑοδώρου ἄρχοντος ὀλυμπιάδος πζ΄ ἔτει α΄. πρῶτος
ἴων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης Μηδείᾳ, Φιλο-
Δίκτυι, Θερισταῖς σατύροις. οὐ σῴζεται.

ει (pag. 9, 1), προλογίζει — μηδείας post indicem personarum in E ἐδιδάχϑη — 3 σῴζεται om. a ἐπὶ] ὑπὸ CE Πυϑοδώρου] πυϑιοϑώρου ὀλυμπιάδος CP] ὀλυμπῖδ E, ὀλυμπιάδι Fd Nauck (ἔτει πρώτῳ Matthiae)] δ ϛ, E, ἴδ εἷ d, ἔτει +΄ C, ἔτ: F, om. P — σῴζεται om. E 2 μηδείᾳ d] μήδεια cet. φιλοκτήτηι F] φιλο- et. 3 Δίκτυι-σῴζεται om. C Δίκτυι Kirchhoff] δικτι Fd, δίκτης P ισταῖς σατύροις Kirchhoff] ϑερισταὶ σάτυρος

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΤΡΟΦΟΣ.
ΠΑΙΔΑΓΩΓΟΣ.
ΜΗΔΕΙΑ.
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.
ΚΡΕΩΝ.
ΙΑΣΩΝ.
ΑΙΓΕΥΣ.
ΑΓΓΕΛΟΣ.
ΠΑΙΔΕΣ ΜΗΔΕΙΑΣ.

c ordine, quo prodeunt in scaenam, personae indicantur in c, qui habet pro παιδαγωγός (πρεσβύτης E, παιδαγωγός et πρέσβυς C); libri ceteri (Ἰάσων et χορός omittuntur in E).

ΕΥΡΙΠΙΔΟΥ ΜΗΔΕΙΑ.

ΠΡΟΛΟΓΟΣ.

ΤΡ. Εἴθ᾽ ὤφελ᾽ Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,
μηδ᾽ ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
τμηθεῖσα πεύκη, μηδ᾽ ἐρετμῶσαι χέρας
ἀνδρῶν ἀριστέων οἳ τὸ πάγχρυσον δέρος
Πελίᾳ μετῆλθον. οὐ γὰρ ἂν δέσποιν᾽ ἐμὴ
Μήδεια πύργους γῆς ἔπλευσ᾽ Ἰωλκίας
ἔρωτι θυμὸν ἐκπλαγεῖσ᾽ Ἰάσονος,
οὐδ᾽ ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
πατέρα κατῴκει τήνδε γῆν Κορινθίαν
ξὺν ἀνδρὶ καὶ τέκνοισιν· ἁνδάνουσα μὲν
⟨ᾧπερ μεγίστων ἐκ πόνων σώτειρ᾽ ἔφυ⟩
φυγῇ πολιτῶν τῶνδ᾽ ἀφίκετο χθόνα

---

5 *ἀριστέων* Wakefield] *ἀρίστων*. 'principum', non 'optimorum' *δέρος* L, Eustath., papyrus Didot] *δέρας* cet. 11-12 ego post *τέκνοισιν* plene interpunxi (idem Vitelli, cui *ὧν* v. 12 = suorum), inserui versum, qualem fere intercidisse suspicor, et *τῶνδ᾽* scripsi] *τέκνοισιν, ἁνδάνουσα* (vel *ἀνδ-*) *μ. φ. πολιτῶν* (-*αις* b[s]) *ὧν* *ἁνδάνουσα μέν, φυγῇ-ἀφίκετο, χθονὶ* Bergk, *ἀνδ. μὲν φυγή* Elmsley, *χἀνδάνουσα* Vitelli, *ἁνδάνουσι* (dat. part.) Kvičala, *λανθάνουσα* Nauck, *ἀμπλακοῦσα* Camper, *νοῦν ἐνδοῦσα* Burges, *ἀλλάσσουσα* Naber *μὲν*] *πρὶν* Steup *φυγῇ*] *φυλῇ* vel *ψυχῇ* Canter, 'debebat *φύλῳ*' Elmsley et sic Nauck, *φυῇ* vel *φύτλῃ* Reiske, *φύσει* Wyttenbach, *ὀργῇ* Musgrave, *φθογγῇ* Burges, *σιγῇ* Seyffert, *φίλη* K. Hartung *φυγὰς πολίταις* Pierson, *φύσει πολίταις* Jacobs, *φυγῇ πολίτας* Brunck v. 11 del. *Klinkenberg, 12 Kvičala, 11-15* Wheeler lacunam post 10 indicat Usener *11 post 12 ponunt* Schneidewin et Usener, 12 post 13 Pflugk

αὐτή τε πάντα ξυμφέρουσ᾽ Ἰάσονι·
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
νῦν δ᾽ ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα·
προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τ᾽ ἐμὴν
γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
γήμας Κρέοντος παῖδ᾽, ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ᾽ ἡ δύστηνος ἠτιμασμένη
βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς
πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται
οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
κεῖται δ᾽ ἄσιτος, σῶμ᾽ ὑφεῖσ᾽ ἀλγηδόσι,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ᾽ ἠδικημένη,
οὔτ᾽ ὄμμ᾽ ἐπαίρουσ᾽ οὔτ᾽ ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος
κλύδων ἀκούει νουθετουμένη φίλων·
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην
αὐτὴ πρὸς αὑτὴν πατέρ᾽ ἀποιμώζῃ φίλον
καὶ γαῖαν οἴκους θ᾽, οὓς προδοῦσ᾽ ἀφίκετο
μετ᾽ ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ᾽ ἡ τάλαινα συμφορᾶς ὕπο
οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός.
στυγεῖ δὲ παῖδας οὐδ᾽ ὁρῶσ᾽ εὐφραίνεται.
δέδοικα δ᾽ αὐτὴν μή τι βουλεύσῃ νέον·
[βαρεῖα γὰρ φρήν, οὐδ᾽ ἀνέξεται κακῶς
πάσχουσ᾽· ἐγᾦδα τήνδε, δειμαίνω τέ νιν
μὴ θηκτὸν ὤσῃ φάσγανον δι᾽ ἥπατος,

13 αὐτή τε] αὐτὴ δὲ Stob., πάντῃ τε Nauck, τέως δὲ Ritschl 16 τὰ καίρια pat. 37 17 αὑτοῦ C] αὐτοῦ cet. 24 ἀλγηδόσι BCE] ἀλγηδόσιν FS, δόνι a et schol. ad v. 97 25 γρ. καὶ συντείνουσα a[1] 30 δέρην] κάρα L 31 αὑτὴν CLa[2]] αὐτὴν cet. ἀποιμώζῃ F] ἀποιμώζει BE, ἀποιμώξει C, μώξῃ cet. 37 νέον CESb[8]] κακόν cet. 38-43 del. Dindorf (Heim- 41 Musgrave, 41-43 Hermann, 40-43 Nauck; cf. 379-380 τε] δὲ S

888

Vindobonae, typis Adolphi Holzhauseni

PRAEFATIO.

Siglorum explicatio:

B = Vatic. 909 (B^1 = man. 1, b = man. 2 et 3).
C = Havn. 417.
E = Paris. 2712 (E^1 = man. 1, E^2 = man. 2).
a = Paris. 2713 (a^1 = man. 1, a^2 = man. 2).
F = Marc. 468.
G = Flor. 31, 10.
H = Flor. 31, 15.
S = cod. archet. (deperditus) librorum
  L = Laur. 32, 2 (L^1 = man. 1, l = man. rec.).
  P = Palat. 287 (P^1 = man. 1, p = man. rec.).
s = supra scriptum (velut b^s).
cet. = ceteri.

Codicis C non mediocrem esse auctoritatem consentiunt et Kirchhoffius (edit. Medeae 1852, p. 15 seqq.) et Nauckius (Euripid. Studien *I*, 133. *II*, 5. 36) et Prinzius (Neue Jahrb. f. Phil. u. Pädag. 1875, S. 129 ff.). 'Est is codex recentioribus quidem temporibus descriptus e libro antiquo satis et bono, Vaticano et Parisino auctoritate pari: qui — haud raro lectiones illis nobis transmisit integriores' Kirchhoffius l. l. p. 15; idem p. 18: 'sequitur, in eruenda scriptura cod. 1' (archetypi librorum BEC), 'ubicunque corruptela videatur carere Havniensis, parem omnino ejus esse auctoritatem alteris duobus' (BE) 'solam, conjunctam vero cum alteriusutrius testimonio reliquo longe superiorem'. Prinzius, cum denuo cum

librum perlustraverit, mihi visus est diffidere Niebuhrii adulescentis diligentiae, cuius ex collatione Matthiaeo concessa fluxerunt, quae ceterorum in editionibus de codicis Havn. lectionibus traduntur. Sed cum nimis pauca nobiscum communicaverit Prinzius, ipse eum librum contuli eiusque lectiones non minus copiose quam ceterorum codicum dedi. Recentioris manus correcturas nullas commemoravi, quippe quas e Palat. 98, apographo libri B, factas esse evicerit Kirchhoffius.

Ceteros codices denuo excutere post Prinzii spectatam diligentiam inutile esse duxi.

Libri LP(S) tot Medeae locis meliora praebent libris ceteris, ut dubitem, an deterioris eos ordinis esse non recte iudicetur.

Omnium librorum auctoritatem ut in Hippolyto sic in Medea recensenda saepenumero neglexi. Quod si quis nimis confidenter me et aliorum et mea inventa in textum, quem vocant, recepisse arguat, maxime discipulorum usui me consuluisse cogitet. Ceterum quidni ei, qui quam acerrimo potuit iudicio rerum difficultates examinavit, concedatur, ut, quae vera esse sibi persuasit, 'usu splendere' cum gaudio videat? Quibus autem rationibus commotus haec illa ausus sim, scriptiuncula aliqua tum ego exponam, cum criticorum iudicia audivero, ut aut illorum impetus reiciam aut, meliora edoctus, mea me abiecisse confitear.

ἔπαθον τλάμων ἔπαθον μεγάλων
ἄξι᾽ ὀδυρμῶν· ὦ κατάρατοι
παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
σὺν πατρί, καὶ πᾶς δόμος ἔρροι.
ἰώ μοί μοι, ἰὼ τλήμων.
τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
μετέχουσι; τί τούσδ᾽ ἔχθεις; οἴμοι,
τέκνα, μή τι πάθηθ᾽ [ὡς] ὑπεραλγῶ.
δεινὰ τυράννων λήματα καί πως
ὀλίγ᾽ ἀρχόμενοι, πολλὰ κρατοῦντες
χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
τὸ δ᾽ ἄρ᾽ εἰθίσθαι ζῆν ἐπ᾽ ἴσοισιν
κρεῖσσον· ἐμοὶ γοῦν ἐπὶ μὴ μεγάλοις
ὀχυρῶς τ᾽ εἴη καταγηράσκειν.
τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν
τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
λῷστα βροτοῖσιν· τὰ δ᾽ ὑπερβάλλοντ᾽
οὐδένα καιρὸν δύναται θνητοῖς·
μείζους δ᾽ ἄτας, ὅταν ὀργισθῇ
δαίμων, οἴκοις ἀπέδωκεν.

ΠΑΡΟΔΟΣ.

ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν — προῳδ.
τᾶς δυστάνου
Κολχίδος, οὐδέ πω ἤπιος· ἀλλά, γεραιά,
λέξον, ἐπ᾽ ἀμφιπύλου ⟨σὺ⟩ γάρ· ⟨ἐξεφοβήθην⟩

---

115 τλῆμον SE (˜ ex ´ corr. E[1]) 118 πάθοιθ᾽ C ὡς del. Hermann δ᾽ ἄρ᾽ Brunk] γὰρ 123 ἐπὶ μὴ μεγάλοις ego, εἴη ζῆν ἐπ᾽ ἴσοισι L[18]] ἢ μεγάλως 128 οὐδὲν ἐπαρκεῖ Nauck δύναται θνητοῖς del. Verrall 133 ἀλλὰ Hermann] ἀλλ᾽ ὦ 135 ἐπ᾽ ἀμφ. ⟨σὺ⟩ (cf. Hipp. 577) γάρ· ⟨ἐξεφοβήθην⟩ (sc. ἐκ δόμων) ego] ἐπ᾽ (ὑπ᾽ Schoene, ἀπ᾽ Hogan, ἔτ᾽ Badham) ἀμφ. ἔσω (ἀπ᾽-ἐγὼ Vitelli) μελάθρου βοὴν (B, βοὰν CSa, μολὼν E, γόον Elmsley) ον, quae suprascripta fuerunt verbo alicui, quale inserui: ἐξεφοβήθην

οὐδὲ συνήδομαι [ὦ γύναι] ἄλγεσι δώματος,
ἐπεί μοι φίλον κέκρανται.

ΤΡ. οὐκ εἰσὶ δόμοι, φροῦδα τάδ' ἤδη·
τὸν μὲν γὰρ ἔχει λέκτρα τυράννων,
ἡ δ' ἐν θαλάμοις τήκει βιοτὴν
δέσποινα, φίλων οὐδενὸς οὐδὲν
παραθαλπομένη φρένα μύθοις.
ΜΗ. αἰαῖ,
διά μου κεφαλᾶς φλὸξ οὐρανία
βαίη· τί δέ μοι ζῆν ἔτι κέρδος;
φεῦ φεῦ· θανάτῳ καταλυσαίμαν
βιοτὰν στυγερὰν προλιποῦσα.

ΧΟ. ἄιες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς, στρ.
ἀχὰν οἵαν ἁ δύστανος (= 173-184)
μέλπει νύμφα;
τίς σοί ποτε τᾶς ἀπλάτου
κοίτας ἔρος, ὦ ματαία;
σπεύσει θανάτου τελευτά·
μηδὲν τόδε λίσσου.
εἰ δὲ σὸς πόσις
καινὰ λέχη σεβίζει,
σοὶ τόδε μὴ χαράσσου·
Ζεύς σοι σύνδικος ἔσται· μὴ λίαν

136 ὦ γύναι secl. Herwerden, ὦ om. Pl (μαι γ αι in ras. l) 140 τὸν Musgrave] ὁ. Porson: φροῦδα γὰρ ἤδη | τάδ'. ὁ coll. schol. Aesch. Choeph. 320 λέκτρα] δῶμα S 143 παραθελγομένη Nauck 146 κοιμασαίμαν? cf. 152, Hipp. 1375 sq., 1387 sq. 148 γαῖα φάος τ' Weil coll. 173 149 ἀχὰν Elmsley coll. 174] ἰαχὰν 151 ἀπλάτου Elmsley] ἀπλάστου BEa, ἀπλήστου CSa[2] 152 ἔρος l] ἔρως L et cet. ματαία; Weil] ματαία 153 σπεύσει B, δ sup. σ scr. B[1] τελευτά· Weil] τελευτάν. BC, τελευτάν, cet., ut videntur; σπεῦσαι - τελευτάν Christ 157 σοὶ ego] κείνῳ, glossa; κοινόν Verrall 158 σύνδικος ἔσται Nauck] τόδε (τάδε S) συνδικήσει

τάκου δυρομένα σὸν εὐνάταν.

ΙΗ. *ὦ μεγάλε Ζεῦ καὶ Θέμι πότνια,*
λεύσσεϑ' ἃ πάσχω, μεγάλοις ὅρκοις
ἐνδησαμένα τὸν κατάρατον
πόσιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοιμ'
αὐτοῖς μελάϑροις διακναιομένους,
οἵ γ' ἐμὲ πρόσϑεν τολμῶσ' ἀδικεῖν.
ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσϑην
αἰσχρῶς τὸν ἐμὸν κτείνασα κάσιν.
ΤΡ. *κλύεϑ' οἷα λέγει κἀπιβοᾶται*
Θέμιν εὐκταίαν Ζῆνά ϑ', ὃς ὅρκων
ϑνητοῖς ταμίας νενόμισται;
οὐκ ἔστιν ὅπως ἔν τινι μικρῷ
δέσποινα χόλον καταπαύσει.

ΧΟ. *πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν* *ἀντιστρ.*
ἔλϑοι μύϑων τ' αὐδαϑέντων (= 148-159)
δέξαιτ' ὀμφάν,
εἴ πως βαρύϑυμον ὀργὰν
καὶ λῆμα φρενῶν μεϑείη.
μήτοι τό γ' ἐμὸν πρόϑυμον
φίλοισιν ἀπέστω.
ἀλλὰ βᾶσά νιν
δεῦρο πόρευσον οἴκων,
⟨ὡς⟩ φίλ' ⟨ἐγὼ⟩ προσαυδῶ·
σπεῦσον πρίν τι κακῶσαι τοὺς ἔσω·
πένϑος γὰρ μεγάλως τόδ' ὁρμᾶται.

---

159 *δυρομένα* Musgrave] *ὀδυρομένα* *εὐνάταν* Tyrhwitt] *εὐνέταν* 160 *μεγάλε Ζεῦ καὶ Θ. π.* Weil (*μεγάλε Ζεῦ πότνιά τ' ὦ Θέμι* Wieseler)] *μεγάλα ϑέμι καὶ πότνι' ἄρτεμι* 165 *γ' ἐμὲ* Brunck] *γέ με* 166-167 *ὧν κάσιν αἰσχρῶς | τὸν ἐμὸν κτείνασ' ἀπενάσϑην* Heimsöth, *αἰσχρῶς τὸν ἐμὸν | κτείνασα κάσιν διόλωλα* Mekler; dimetrum anap. recte se habere ego ostendi in progr. schol. Alton. 1875 171 κὀυκ B, κ' οὐκ (sed κ' ante lin. scr.) C 182 *ὡς φίλ' ἐγὼ προσαυδῶ* ego] ἔξω, φίλα καὶ τάδ' (videntur καὶ τάδ'

ΤΡ. δράσω τάδ'· ἀτὰρ φόβος εἰ πείσω
δέσποιναν ἐμήν·
μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω.
καίτοι τοκάδος δέργμα λεαίνης
ἀποταυροῦται δμωσίν, ὅταν τις
μῦθον προφέρων πέλας ὁρμηθῇ.
σκαιοὺς δὲ λέγων κοὐδέν τι σοφοὺς
τοὺς πρόσθε βροτοὺς οὐκ ἂν ἁμάρτοις,
οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις
ἐπί τ' εἰλαπίναις καὶ παρὰ δείπνοις
ηὕροντο βίου τερπνὰς ἀκοάς·
στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
ηὕρετο μούσῃ καὶ πολυχόρδοις
ᾠδαῖς παύειν, ἐξ ὧν θάνατοι
δειναί τε τύχαι σφάλλουσι δόμους.
καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
μολπαῖσι βροτούς· ἵνα δ' εὔδειπνοι
δαῖτες, τί μάτην τείνουσι βοήν;
τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ
δαιτὸς πλήρωμα βροτοῖσιν.

ΧΟ. ἰαχὰν ἄιον πολύστονον γόων, ἐπῳδ.
λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ
τὸν ἐν λέχει προδόταν κακόνυμφον·
θεοκλυτεῖ δ' ἄδικα παθοῦσα
Ζανὸς ὁρκίαν Θέμιν,
ἅ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον δι'
ἅλα νύχιον ἐφ' ἁλμυρὰν
πόντου κλῇδ' ἀπεράντου.

---

super προσ- scr. fuisse) αὔδα. Cf. 174, 1207 204 ἀχὰν Dindorf, ἰα[illegible] diam producere docet Nauck 207 δ' ἄδικα CEal] δέ τ' ἄδικα cet. *Ζανὸς Christ] τὰν Ζηνός.* Videtur τὰν eiusdem esse, qui 207 metri *inseruit* *211 μύχιον* Lenting 212 ἀπεράντου Milton] ἀπέραντ

ΕΠΕΙΣΟΔΙΟΝ Α.

Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
μή μοί τι μέμφησθ᾽· οἶδα γὰρ πολλοὺς βροτῶν
σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
τοὺς ἐν θυραίοις, οἱ δ᾽ ἀφ᾽ ἡσύχου ποδὸς
δύσνοιαν ἐκτήσαντο καὶ ῥᾳθυμίαν.
δίκη γὰρ οὐκ ἔνεστιν ὀφθαλμοῖς βροτῶν,
ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς
στυγεῖ δεδορκώς, οὐδὲν ἠδικημένος.
χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·
οὐδ᾽ ἀστὸν ᾔνεσ᾽ ὅστις αὐθάδης γεγὼς
πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
ἐμοὶ δ᾽ ἄελπτον πρᾶγμα προσπεσὸν τόδε
ψυχὴν διέφθαρκ᾽· οἴχομαι δὲ καὶ βίου
χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.
ἐν ᾧ γὰρ ἦν μοι πάντα, γιγνώσκειν καλῶς,
κάκιστος ἀνδρῶν ἐκβέβηχ᾽ οὑμὸς πόσις.
πάντων δ᾽ ὅσ᾽ ἔστ᾽ ἔμψυχα καὶ γνώμην ἔχει
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν·
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι δεσπότην τε σώματος
λαβεῖν· ἐκείνου γὰρ τόδ᾽ ἄλγιον κακόν·
κἀν τῷδ᾽ ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν
ἢ χρηστόν. οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ

---

215 *μέμφησθ᾽* CE a] *μέμφοισθ᾽* B, *μέμψησθ᾽* L, *μέμψοισθ᾽* P 216 *ὀμμά-τ᾽* BE 217 *τοὺς* Meister] *τοὺς δ᾽* 218 *δύσνοιαν* Prinz] *δύσκλειαν*, ιpt. ex glossa *δυσκολίαν*. Schol: *ἄλλοι δὲ ἐπὶ ἡσυχίας ἰδιοπραγμονοῦντες οιαν ἔσχον δυσκολίας καὶ ἀργίας* 219 *ἔνεστιν* B, lemma schol.] *ἔνεστ᾽* ιt. 224 *πολίταις* C S^{s} b a^{18}] *πολίτης* cet. 228 *γιγνώσκω* Canter, *γιγνώ-* Musgrave. Infinitivum absolutum (cf. *ὡς εἰπεῖν*) agnoscit etiam schol. 234 *ἐκείνου* Wecklein] *κακοῦ*, glossa *τόδ᾽* C] *τοῦτ᾽* BE, *τοῦτό γ᾽* a, Stob., ᾽ *ἔτ᾽* S. *τοῦτ᾽ ἔτ᾽* Brunck, *τοῦτ᾽ ὑπέρτερον* Nauck, τοῦδ᾽ ἔτ᾽ ἄ. κακόν; Lenting, *τοῦδ᾽ ἔτ᾽ Rauchenstein*. Del. v. Prinz, post 237 ponit Nikitin 235 φαῦ-*Veil* *λαβεῖν* C S b^{s}] *λάβῃ* cet. 236 εὐχερεῖς Nauck

γυναιξίν, οὐδ᾽ οἷόν τ᾽ ἀνήνασθαι πόσιν.
ἐς καινὰ δ᾽ ἤθη καὶ νόμους ἀφιγμένην
δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
ὅπως μάλιστα χρήσεται ξυνευνέτῃ.
κἂν μὲν τάδ᾽ ἡμῖν ἐκπονουμέναισιν εὖ
πόσις ξυνοικῇ μὴ βίᾳ φέρων ζυγόν,
ζηλωτὸς αἰών· εἰ δὲ μή, θανεῖν χρεών.
ἀνὴρ δ᾽ ὅταν τοῖς ἔνδον ἄχθηται ξυνών,
ἔξω μολὼν ἔπαυσε καρδίαν ἄσης,
ἢ πρὸς φίλον τιν᾽ ἢ πρὸς ἥλικας τραπείς·
ἡμῖν δ᾽ ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
λέγουσι δ᾽ ἡμᾶς ὡς ἀκίνδυνον βίον
ζῶμεν κατ᾽ οἴκους, οἱ δὲ μάρνανται δορί·
κακῶς φρονοῦντες· ὡς τρὶς ἂν παρ᾽ ἀσπίδα
στῆναι θέλοιμ᾽ ἂν μᾶλλον ἢ τεκεῖν ἅπαξ.
ἀλλ᾽ οὐ γὰρ αὑτὸς πρὸς σὲ κἄμ᾽ ἥκει λόγος·
σοὶ μὲν πόλις γὰρ ἔστι καὶ πατρὸς δόμοι
βίου τ᾽ ὄνησις καὶ φίλων συνουσία,
ἐγὼ δ᾽ ἔρημος ἄπολις οὖσ᾽ ὑβρίζομαι
πρὸς ἀνδρός, ἐκ γῆς βαρβάρου λελῃσμένη,
οὐ μητέρ᾽, οὐκ ἀδελφόν, οὐχὶ συγγενῆ
μεθορμίσασθαι τῆσδ᾽ ἔχουσα συμφορᾶς.
τοσόνδε δή σου τυγχάνειν βουλήσομαι,
ἤν μοι πόρος τις μηχανή τ᾽ ἐξευρεθῇ
πόσιν δίκην τῶνδ᾽ ἀντιτίσασθαι κακῶν

240 ὅπως Meineke] ὅτῳ. ὅτῳ-χαρίσεται Wecklein μάλιστα] ἄρ
242 φέρειν Kirchhoff 243 θανεῖν χάρις Wecklein coll. Aesch
550 245 καρδίας ἄσην C, Olympiod. in Plat. Alcib. 246 φίλ
(non ω ex ο factum, quod tradit Prinz) d ἥλικας C (Porson)] ἥλικα cet
v. Wilamowitz 250 παρ᾽ ἀσπίδας C 252 αὑτὸς Porson] αὐτός, sed
L[s], οὐχὶ περὶ σοῦ ταὐτά (l. ταὐτά) φησιν schol. 253 πόλις γάρ Har
γὰρ πόλις ἥδ᾽ B, πόλις ἥδ᾽ Ca, πόλις θ᾽ ἥδ᾽ ES.; πόλις πάρεστι Weckleii
254 κοινωνία E[s]a[1s] 257 οὐχὶ] οὐδὲ S 259 τοσόνδε δή σου N
cf. Hipp. 711] τοσοῦτον οὖν σου S, τοσοῦτον δέ σου cet., τοσόνδε ‹
σου Sachsse, τοσόνδε δ᾽ ἐκ σοῦ Bauer; alii alia 261 δίκην d] δίκη

[τὸν δόντα τ' αὐτῷ θυγατέρ' ἥν τ' ἐγήματο],
σιγᾶν. γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα,
κακή τ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.
δράσω τάδ'· ἐνδίκως γὰρ ἐκτίσει πόσιν,
Μήδεια. πενθεῖν δ' οὔ σε θαυμάζω τύχας.
ὁρῶ δὲ καὶ Κρέοντα τῆσδ' ἄνακτα γῆς
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.

σὲ τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην,
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω περᾶν
φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
καὶ μή τι μέλλειν· ὡς ἐγὼ βραβεὺς λόγου
τοῦδ' εἰμὶ κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.
αἰαῖ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι.
ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,
κοὐκ ἔστιν ἄτης εὐπόριστος ἔκβασις.
ἐρήσομαι δὲ καὶ κακῶς πάσχουσ' ὅμως,
τίνος μ' ἕκατι γῆς ἀποστέλλεις, Κρέον;
δέδοικά σ', οὐδὲν δεῖ παραμπίσχειν λόγους,
μή μοί τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
συμβάλλεται δὲ πολλὰ τοῦδε δείματος·
σοφὴ πέφυκας καὶ κακῶν πολλῶν ἴδρις,
λυπεῖ δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.

---

262 del. Lenting; cf. 267. Additus est propter 288 δόντα γ' S ἥ τ' ... κτο Porson 264 κακή τ' Tyrwhitt] κακὴ δ' 267 δράσω Pb[s]] δράσον ... ρᾶσον cet. 269 δέ σοι Herwerden, δέ τοι Kvičala coll. Soph. Ai. 1157 ... 273 σαυτῇ L] αὑτῇ Cb, αὐτῇ cet. 279 εὐπόριστος Herwerden; εὐεπι- ... υτος schol.] εὐπρόσοιστος. εὐπρόσωπος Nauck, εὐπρόσορμος Wecklein, ... ευτος Kvičala; εὔπορός τις? cf. 362 280 λέγουσ' E 282 παραμπίσχειν ... περιαμπίσχειν P) et lemma schol. in B] παραμπέχειν cet. 284 τοῦδε ... ιτα Wieseler, τῷδε δείματι Schoene, τοῦδ' vel τοῦτ' ἐς δεῖμά μοι Bauer

κλύω δ' ἀπειλεῖν σ', ὡς ἀπαγγέλλουσί μοι,
τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην
δράσειν τι. ταῦτ' οὖν πρὶν παθεῖν φυλάξομαι.
κρεῖσσον δέ μοι νῦν πρὸς σ' ἀπεχθέσθαι, γύναι,
ἢ μαλθακισθένθ' ὕστερον μεταστένειν.
ΜΗ. φεῦ φεῦ·
οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,
ἔβλαψε δόξα μεγάλα τ' εἴργασται κακά.
χρὴ δ' οὔποθ' ὅστις ἀρτίφρων πέφυκ' ἀνὴρ
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς·
χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας
φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ
δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·
τῶν δ' αὖ δοκούντων εἰδέναι τι ποικίλον
κρείσσων νομισθεὶς λυπρὸς ἐν πόλει φανεῖ.
ἐγὼ δὲ καὐτὴ τῆσδε κοινωνῶ τύχης.
σοφὴ γὰρ οὖσα τοῖς μέν εἰμ' ἐπίφθονος,
[τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου,
[τοῖς δ' αὖ προσάντης· εἰμὶ δ' οὐκ ἄγαν σοφή.]
σὺ δ' αὖ φοβεῖ με, μή τι πλημμελὲς πάθῃς·
οὐχ ὧδ' ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,
ὥστ' ἐς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν.

---

287 ἀπειλεῖν σ' L(a²?)] ἀπειλεῖς a, ἀπειλῇ C, ἀπειλεῖν cet. χθέσθαι Emsley] ἀπέχθεσθαι BCSa², ἀπέχεσθαι Ea 291 μεταστένε μέγα στένειν 292 νῦν γε Hirzel 293 γλῶσσα Stob. 2 ἀλκῆς E ἀργίας] αἰτίας Wyttenbach 297 παρ' Aristot. Bauer σοφὰ] ἔπη a² 301 ἐν πόλει λυπρὸς S 304 del. Pier 808 huc translatum; in margine habet E 305 del. Hirzel ut ex fictum; cf. 381. σοὶ δ' αὖ προσάντης, μή τι πλημ. πάθῃς Wecklein 790. προσάντης εἰμὶ κοὐκ videtur Musgravio legisse schol., qui: ἐν — οὐδ' ἄγαν σοφή 306 αὖ] οὖν CES πάθῃς; a 307 ἔχ ἔχοιμι cet. 308 ὡς E 312 ante 309 colloc. Hirzel

τί γάρ σύ μ' ἠδίκηκας; ἐξέδου κόρην
ὅτῳ σε θυμὸς ἦγεν. ἀλλ' ἐμὸν πόσιν
μισῶ· σὺ δ', οἶμαι, σωφρονῶν ἔδρας τάδε.
νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
ἐᾶτέ μ' οἰκεῖν· καὶ γὰρ ἠδικημένοι
  σιγησόμεσθα, κρεισσόνων νικώμενοι.
λέγεις ἀκοῦσαι μαλθάκ', ἀλλ' ἔσω φρενῶν
ὀρρωδία μοι μή τι βουλεύῃς κακόν.
τοσῷδε δ' ἧσσον ἢ πάρος πέποιθά σοι·
γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός.
ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην ὅπως
  μενεῖς παρ' ἡμῖν οὖσα δυσμενὴς ἐμοί.
μή, πρός σε γονάτων τῆς τε νεογάμου κόρης.
λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ.
ἀλλ' ἐξελᾷς με κοὐδὲν αἰδέσει λιτάς;
φιλῶ γὰρ οὐ σὲ μᾶλλον ἢ δόμους ἐμούς.
ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.
πλὴν γὰρ τέκνων κἄμοιγε φίλτατον πολύ.
φεῦ φεῦ, βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
ὅπως ἄν, οἶμαι, καὶ παραστῶσιν τύχαι.
Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν.
ἕρπ', ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.
πονοῦμεν ἡμεῖς κοὐ πόνων κεχρήμεθα.
τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσει βίᾳ.

---

309 *σὺ γάρ τί μ'* S *ἠδίκησας* C 311 *σώφρων ἔδρασας* C. An *σώφρον' σας*? ut Iph. Aul. 1024 *σώφρον' εἶπας* 313 *πράσσετε* S. *πράσσοντε* Her- a *δὲ*] *δὴ* Sb[s] 317 *βουλεύῃς* Elmsley] *βουλεύσῃς* 318 *δ'*] *γ'* S *αὔτως* CES] *αὕτως* 1 et cet. 323 *μενεῖς* Sb[s]] *μένῃς* cet. 325 *ἀνα- ις* Stahl (rectius esset *ἀμπείσεις*), *ἐκπείσεις* Wecklein, *οὖν πείσεις* Nauck 329 *κἄμοιγε* Bothe] *ἔμοιγε* *πολύ*] *πόλις* a[2] 332 *λάθῃ* S (οι ρ[s]\ *τόνοις* L[1s], *κάμπνοῶν* Prinz 335 ὠσθήσῃ EL\ ὠθήσῃ cet. 337, 338, ıt *336 οὐ δῆτα* Prinz

ΜΗ. μὴ δῆτα τοῦτό γ᾽, ἀλλά σ᾽ αἰτοῦμαι, Κρέον, —
ΚΡ. ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.
ΜΗ. φευξούμεθ᾽· οὐ τοῦθ᾽ ἱκέτευσά σου τυχεῖν.
ΚΡ. τί δ᾽ αὖ βιάζει κοὐκ ἀπαλλάσσει χερός;
ΜΗ. μίαν με μεῖναι τήνδ᾽ ἔασον ἡμέραν
καὶ ξυμπερᾶναι φροντίδ᾽ ᾗ φευξούμεθα,
παισίν τ᾽ ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.
οἴκτειρε δ᾽ αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
πέφυκας· εἰκὸς δ᾽ ἐστὶν εὔνοιάν σ᾽ ἔχειν.
τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα,
κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους.
ΚΡ. ἥκιστα τοὐμὸν λῆμ᾽ ἔφυ τυραννικόν,
αἰδούμενος δὲ πολλὰ δὴ διέφθορα·
καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι,
ὅμως δὲ τεύξει τοῦδε· προυννέπω δέ σοι,
εἴ σ᾽ ἡ ᾽πιοῦσα λαμπὰς ὄψεται θεοῦ
καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονός,
θανεῖ· λέλεκται μῦθος ἀψευδὴς ὅδε.
[νῦν δ᾽, εἰ μένειν δεῖ, μίμν᾽ ἐφ᾽ ἡμέραν μίαν·
οὐ γάρ τι δράσαις δεινὸν ὧν φόβος μ᾽ ἔχει.]

ΧΟ. φεῦ φεῦ, μελέα τῶν σῶν ἀχέων,
δύστανε γύναι.
ποῖ ποτε τρέψει, τίνα πρὸς ξενίαν;

---

339 αὖ] οὖν P, δὴ Elmsley χερός Wilamowitz] χθονός
Elmsley 342 γρ. παισίν τε φορβὴν a[1] in marg. 344 οἴκτιρε
qui 344-345 post 346-347 poni iubet 345 del. Nauck (Menzer)
c; δέ σφιν Vitelli 355-356 del. Nauck. Δίδυμος μετὰ τοῦτο φέ
'σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος' (41,380) 'καὶ μέμφεται τοῖς ὑποκ
ὡς ἀκαίρως αὐτὸν τάσσουσιν' 356 δράσεις ES] δράσαις cet. 357
δύστανε γύναι. ego] δύστανε γύναι om. CS, δ. γ., φεῦ φεῦ μ. τ. σ. ἀ. cet.;
bium vocavit verba δ. γ. Seidler 359 πρὸς ξενίαν; ποῦ ego] προ * ξει
προξενίαν P. Fort. praeferes πρὸς ξενίαν ἢ δ. ἢ χθόνα; σ. κ. οὐχ εὑρήσεις
πρὸς ξ. ἢ δ. ἢ χ., σ. κ. ἐξευρήσουσ'; Elmsleio auctore ἐξευρήσεις del. Y

ποῦ δόμον ἢ χθόνα σωτῆρα κακῶν
ἐξευρήσεις;
ὡς εἰς ἄπορόν σε κλύδωνα θεός,
Μήδεια, κακῶν ἐπόρευσε.
I. κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;
ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω.
ἔτ' εἴσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις
καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτε,
εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
οὐδ' ἂν προσεῖπον οὐδ' ἂν ἡψάμην χεροῖν.
ὁ δ' ἐς τοσοῦτον μωρίας ἀφίκετο
ὥστ' ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα
γῆς ἐκβαλόντι, τήνδ' ἐφῆκεν ἡμέραν
μεῖναί μ', ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
θήσω, πατέρα τε καὶ κόρην πόσιν τ' ἐμόν.
πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδούς,
οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι,
πότερον ὑφάψω δῶμα νυμφικὸν πυρί,
ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος,
σιγῇ δόμους ἐσβᾶσ' ἵν' ἔστρωται λέχος.
ἀλλ' ἕν τί μοι πρόσαντες· εἰ ληφθήσομαι
δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,
θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
σοφοὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν.

---

364 πανταχοῦ Chr. pat. 1063 365 πως B, πω C, ς suprascr. C[1] vel που Chr. pat. 253 367 σμικροὶ S] μικροὶ cet. 368 ποτ' ἂν S ἐφῆκεν Nauck] ἀφῆκεν 378 ἐφάψω E 380 ὧδε καλῶς κεῖται. Δί-ος σημειοῦται ὅτι κακῶς οἱ ὑποκριταὶ τάσσουσιν ἐπὶ τῶν δύο (τῷ μ' = 40 'all) τὸ 'σιγῇ δόμους εἰσβᾶσα' schol. 383 θανοῦσ' ὀφλήσω Nauck; sed Ion. 1172 384 τὴν σοφίαν E. Corrupt. videtur εὐθεῖαν Prinzio; κρά-α τηρήσασαν Mekler; an τὴν θήλειαν? 385 σοφοὶ Dalzell σοφαὶ] κτανεῖν S (γρ. ἑλεῖν l) b[s]

εἶεν·
καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους
  ξένος παρασχὼν ῥύσεται τοὐμὸν δέμας;
οὐκ ἔστι. μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον·
ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,
αὐτὸ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
  κτενῶ σφε, τόλμης δ' εἶμι πρὸς τὸ καρτερόν.
οὐ γὰρ μὰ τὴν δέσποιναν ἣν ἐγὼ σέβω
μάλιστα πάντων καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
πικροὺς δ' ἐγώ σφιν καὶ λυγροὺς θήσω γάμους,
  πικρὸν δὲ κῆδος καὶ φυγὰς ἐμὰς χθονός.
ἀλλ' εἶα· φείδου μηδὲν ὧν ἐπίστασαι,
Μήδεια, βουλεύουσα καὶ τεχνωμένη·
ἕρπ' ἐς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
ὁρᾷς ἃ πάσχεις· οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
τοῖς Σισυφείοις τοῖσδ' Ἰάσονος γάμοις,
  γεγῶσαν ἐσθλοῦ πατρὸς Ἡλίου τ' ἄπο.
[ἐπίστασαι δέ· πρὸς δὲ καὶ πεφύκαμεν
γυναῖκες, ἐς μὲν ἔσθλ' ἀμηχανώταται,
  κακῶν δὲ πάντων τέκτονες σοφώταται.]

---

386 πόλις] δόμος E 388 δέμας τόδε Chr. pat. 890 392 ἀμήχα Verrall 393 αὐτὸ ego] αὐτὴ κἂν Hartung 395 om. C, σέβω-ξυνερ om. E σφι CE 400 ἐμὰς Sa[3]] ἐμᾶς cet. 403 τὰ δεινά Chr. pat.
404 πάσχεις· Wecklein] πάσχεις; vulg. οὐ] καὶ L, unde κοὐ Hart
ὀφλεῖν Elmsley] ὄφλειν, cf. 1049 405 τοῖσδ' Herwerden] τοῖσ' τ'. : Bergmann, τοῖς τ' ἀπ' Αἴσονος Weil δόμοις Bauer 407-409 in s voc. Hartung, ego seclusi

ΣΤΑΣΙΜΟΝ Α.

ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί, *στρ. α.*
καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
ἀνδράσι μὲν δόλιαι βουλαί, θεῶν τ᾿
οὐκέτι πίστις ἄραρε.
τὰν δ᾿ ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν στρέ-
ψουσι φᾶμαι·
ἔρχεται τιμὰ γυναικείῳ γένει·
οὐκέτι δυσκέλαδος φάμα γυναῖκας ἕξει.

παλαιγενέων δὲ σοφῶν λήξουσι μοῦσαι *ἀντιστρ. α.*
τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
ὤπασε θέσπιν ἀοιδὰν
Φοῖβος, ἁγήτωρ μελέων· ἐπεὶ ἀντά-
χησ᾿ ἂν ὕμνον
ἀρσένων γέννᾳ· μακρὸς δ᾿ αἰὼν ἔχει
πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν.

σὺ δ᾿ ἐκ μὲν οἴκων πατρίων ἔπλευσας *στρ. β.*
μαινομένᾳ κραδίᾳ,
διδύμους ὁρίσασα πόντου

---

412 *τ᾿* Wecklein] *δ᾿* 416 *στρέψουσι* Elmsley; *ἐροῦσι πάντες τὸν ἡμέ-*
ον βίον - εὐκλεέστερον εἶναι schol.] *στρέφουσι* 421 *παλαιγενέων δὲ σοφῶν*
νουσι μοῦσαι Stadtmüller; *αἱ Μοῦσαι αἱ τοὺς παλαιγενεῖς ἄνδρας τοὺς*
οὺς παρορμήσασαι διασύρειν τὸ γυναικεῖον ἔθνος λήξουσι τῶν ἀοιδῶν
καθ᾿ ἡμῶν et *τὰ ποιήματα τῶν πάλαι σοφῶν ποιητῶν — σχολάσει* schol.]
σαι δὲ παλαιγενέων λήξουσιν (*λήξουσ᾿* Heath) *ἀοιδᾶν* (*-ῶν* B[1s] C)
ὑμνεῦσαι EaS (*ὑμνεῦσ᾿* l), Eustath.] *ὑμνέουσαι* fere cet. 424 *εἰ γὰρ*
ting *γνώμᾳ*] *γενεᾷ* a[2s] 425 *ἔπνευσε* a, unde *θέσπιν ἔπνευσεν* Har-
; 426 *ἀγήτωρ* BP *ἀντάχησ᾿ ἂν* Scaliger] *ἀντάχησα* B (*ν* add. b),
άχησεν a[2s], *ἀντάχησαν* cet. 427 *ὕμνοις* B (-*ον* b[s]), *ὕμνοι* a[2s] schol.,
ath. 431 *πατρίων* Aldina] *πατρῴων* 433 *διδύμους* La] *διδύμας* cet.

πέτρας· ἐπὶ δὲ ξένᾳ
ναίεις χθονί, τᾶς ἀνάνδρου
κοίτας ὀλέσασα λέκτρον,
τάλαινα, φυγὰς δὲ χώρας
ἄτιμος ἐλαύνει.

βέβακε δ' ὅρκων χάρις, οὐδ' ἔτ' αἰδὼς — ἀντιστρ. β.
Ἑλλάδι τᾷ μεγάλᾳ
μένει, αἰθερία δ' ἀνέπτα.
σοὶ δ' οὔτε πατρὸς δόμοι,
δύστανε, μεθορμίσασθαι
μόχθων πάρα, τῶν τε λέκτρων
ἄλλα βασίλεια κρείσσων
δόμοισιν ἐπέστα.

ΕΠΕΙΣΟΔΙΟΝ Β.

ΙΑ. οὐ νῦν κατεῖδον πρῶτον ἀλλὰ πολλάκις
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.
σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν
κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
λόγων ματαίων εἵνεκ' ἐκπεσεῖ χθονός.
κἀμοὶ μὲν οὐδὲν πρᾶγμα· μὴ παύσῃ ποτὲ
λέγουσ' Ἰάσων ὡς κάκιστός ἐστ' ἀνήρ·
ἃ δ' ἐς τυράννους ἐστί σοι λελεγμένα,
πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ.

434 ξένᾳ Aldina] ξείνᾳ   440 μίμνει ES   443 παρὰ CL   τῶν τε Elmsley (σῶν τε Porson)] τῶνδε   444 ἄλλα Heath] ἀλλά. Stadtmüller: νέα   445 δόμοισιν CEa] δόμοι *** L, δόμοις l et cet.   ἐπέστα S] ἐπέστη CEa, ἀνέστη B. δόμοις ἐπανέστα Kirchhoff   450 εἵνεκα] οὕνεκα, cf. ad 88   ἐκπεσεῖ L] ἐκπεσεῖν E, ἐκπεσῇ l et cet.   451 πρᾶγμα, μὴ οὐ Sauppe   452 Ἴασον' Elmsley

κἀγὼ μὲν αἰεὶ βασιλέων θυμουμένων
ὀργὰς ἀφῄρουν καί σ᾽ ἐβουλόμην μένειν·
σὺ δ᾽ οὐκ ἀνίεις μωρίας λέγουσ᾽ ἀεὶ
κακῶς τυράννους· τοιγὰρ ἐκπεσεῖ χθονός.
ὅμως δὲ κἀκ τῶνδ᾽ οὐκ ἀπειρηκὼς φίλοις
ἥκω, τὸ σὸν δὲ προσκοπούμενος, γύναι,
ὡς μήτ᾽ ἀχρήμων σὺν τέκνοισιν ἐκπέσῃς
μήτ᾽ ἐνδεής του· [πόλλ᾽ ἐφέλκεται φυγὴ
κακὰ ξὺν αὑτῇ·] καὶ γὰρ εἰ σὺ ᾽μὲ στυγεῖς,
οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτε.

Μ. *ὦ παγκάκιστε, τοῦτο γάρ σ᾽ εἰπεῖν ἔχω*
γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακόν,
ἦλθες πρὸς ἡμᾶς, ἦλθες, ἔχθιστος γεγώς;
[θεοῖς τε κἀμοὶ παντί τ᾽ ἀνθρώπων γένει;]
οὔτοι θράσος τόδ᾽ ἐστὶν οὐδ᾽ εὐτολμία
φίλους κακῶς δρῶντ᾽ εἶτ᾽ ἐναντίον βλέπειν,
ἀλλ᾽ ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει᾽· εὖ δ᾽ ἐποίησας μολών,
ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι
ψυχὴν κακῶς σε καὶ σὺ λυπήσει κλύων.
ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν.
ἔσωσά σ᾽, ὡς ἴσασιν Ἑλλήνων ὅσοι
ταὐτὸν συνεισέβησαν Ἀργῷον σκάφος,

---

455 *αἰεὶ* L] *ἀεὶ* cet. 457 *ἀνίεις* (praes.)] *ἀνίῃς* L l, *ἀνίεις* L[1], *ἀνιεῖς* unck (Cobet, Bamberg) 459 *κἀν τοῖσδ᾽* Chr. pat. 246 460 *τὸ σὸν δὲ* ıl *τὸ σόν δε*) B C L a] *τοσὸνδε* E, *τὸ σόν γε* P Chr. pat. 247, 1976 (cod. A), ɔον *γε* Verrall, *τὸ σὸν δὴ* Hogan 462 *πόλλ᾽ — αὑτῇ* del. Kirchhoff, 552 *αὑτῇ* C b] *αὐτὴ* L, *αὐτῇ* cet. 463 *σὺ ᾽μὲ* ego] *σύ με* 464 *σοὶ*] *ν* Patakis 466 del. Prinz, *μεγίστων εἰς ἐνέργειαν κακῶν* Weil, *εἰς ἀναι-* ιαν 'qui adiutricem impudentiae habes linguam' Wyttenbach, *ἔχει | γλῶσσ᾽,* — *κράτος* Mekler 468 del. Brunck coll. 1324 469 *οὔτι* S, Hero- ın., *ταὔτ᾽ οὔτι θάρσους* Chr. pat. 292 *θάρσος* b. *τινὲς δὲ ἐπιλαμβάνονται* ῦ *Εὐριπίδου ὡς κακῶς εἰρηκότος· τὸ γὰρ θράσος* ἔδει μᾶλλον εἰπεῖν θάρσος ıol. *Videntur* iidem correxisse τόδ᾽ οὔτι θάρσος 470 δρῶντ᾽ εἶτ᾽ Weck- ı] *δράσαντ᾽ βλέπειν;* E 471 καλλίστη E

πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
  ζεύγλαισι καὶ σπεροῦντα θανάσιμον γύην·
δράκοντά θ', ὃς πάγχρυσον ἀμπέχων δέρος
σπείραις ἔσῳζε πολυπλόκοις ἄυπνος ὤν,
  κτείνασ' ἀνέσχον σοὶ φάος σωτήριον.
αὐτὴ δὲ πατέρα καὶ δόμους προδοῦσ' ἐμοὺς
τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην
  σὺν σοί, πρόθυμος μᾶλλον ἢ σοφωτέρα,
Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν,
  παίδων ὕπ' αὐτοῦ, πάντα δ' ἐξεῖλον φόβον.
καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ κάκιστ' ἀνδρῶν, παθὼν
προύδωκας ἡμᾶς, καινὰ δ' ἐκτήσω λέχη,
παίδων γεγώτων· εἰ γὰρ ἦσθ' ἄπαις ἔτι,
  συγγνωστὸν ἦν σοι τοῦδ' ἐρασθῆναι λέχους.
ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν
ἢ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τὰ νῦν,
  ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.
φεῦ δεξιὰ χείρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,
καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρώσμεθα
  κακοῦ πρὸς ἀνδρός, ἐλπίδων δ' ἡμάρτομεν.
ἄγ'· ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι· —
δοκοῦσα μὲν τί πρός γε σοῦ πράξειν καλῶς;
  ὅμως δ'· ἐρωτηθεὶς γὰρ αἰσχίων φανεῖ· —

---

479 ζεύγλῃσι S, ζεύγν * αισι E 480 θ'] δ' BP ἀμφέπων Ald. ρος L b[s]] δέρας cet., cf. 5 482 κτείνασ'] κοιμῶσ'? cf. Apollod. 1, 9, 23, 11 486 θανεῖν | παίδων ὑφ' αὐτοῦ, Elmsley 487 δ'] τ' S φόβον] δόμο: α[1] in marg., τρόμον Mekler 489 καὶ νέα b[s] 490 γεγώτων] ἔτ' ὄν C 491 σύγγνωστ' ἂν S 493 ἦ B (ἢ b[s]), εἰ Reiske νομίζω sc Aeschin. 494 θέσμι' ES, schol. Aeschin.] θέσμι' ἐν B, θέσμια ἐι θέσμ' ἐν a. θέσμι' ἐν βροτοῖς Weil 498 ἐλπίδος E 500 μὲν τί schol.: παθητικὴν ὑπόκρισιν δηλοῖ τὸ τί et ἐκ τῆς ὑποκρίσεως ἐμφο τὸ οὐδέν τι] μέντοι C, γρ. μήτι a, μέν τι cet. πρός γε σ' οὐ C ταῦτα ἐν παρενθέσει (Verrall] ἐν ἤθει, ex π̄θει) προενεκτέον schol. 501 δ' om. BE

νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,
οὓς σοὶ προδοῦσα καὶ πάτραν ἀφικόμην;
ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ᾽ ἂν οὖν
δέξαιντό μ᾽ οἴκοις ὧν πατέρα κατέκτανον.
ἔχει γὰρ οὕτω· τοῖς μὲν οἴκοθεν φίλοις
ἐχθρὰ καθέστηχ᾽, οὓς δέ μ᾽ οὐκ ἐχρῆν κακῶς
δρᾶν, σοὶ χάριν φέρουσα πολεμίους ἔχω.
τοιγάρ με πολλαῖς μακαρίαν ἀν᾽ Ἑλλάδα
ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ σεπτὸν — ἢ τάλαιν᾽ ἐγώ,
εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη,
φίλων ἔρημος, σὺν τέκνοις μόνη μόνοις,
καλόν γ᾽ ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
πτωχοὺς ἀλᾶσθαι παῖδας ἥ τ᾽ ἔσωσά σε.
ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ᾖ
τεκμήρι᾽ ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ᾽ ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;
Ο. *δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,*
ὅταν φίλοι φίλοισι συμβάλωσ᾽ ἔριν.
Ι. *δεῖ μ᾽, ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,*
ἀλλ᾽ ὥστε ναὸς κεδνὸν οἰακοστρόφον
ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
ἐγὼ δ᾽, ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,

---

503 *ἅμ᾽ ἑσπόμην* Naber 504 *γ᾽ ἂν οὖν* Sb] *τ᾽ ἂν οὖν* BE, *τὰ νῦν* Ca 509 *ἀν᾽ Ἑλλάδα* a (*μακαρί᾽ ἀν᾽ Ἑ.* C)] *Ἑλλάδα* Herodianus et Zonaeus, ν᾽ *Ἑ.* BE, *Ἑλληνίδων* Sb[s] cum Alexandro 511 *σεπτὸν* Nauck] *σεμνὸν* x., *πιστὸν* libri, *κἀγαστὸν* F. W. Schmidt 512 *εἰ*] *ἢ* Elmsley *γε* C cod. Havn. Herod.] *τε* BEa, *δὲ* S, *δὴ* Hartung 513 *φίλων*] *δόμων* rod. et Zon. 514 *κακόν γ᾽* Vitelli *τῷ — νυμφίῳ* a] *τῶν — νυμφίων* (*ι* sub utroque *ω* scr. b), *τῶ — νυμφίων* C, τῶν — νυμφίω P, τῶ * — φίω L *516 ᾖ*] *ἦν* Clem. et Stob. 518 χρῆν L; om. v. C 519 σώ- ς *Chr. pat. 350* 523 *νηὸς* SB[1s] 526 ἐπεὶ σὴν Nauck

Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
  σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
σοὶ δ' ἔστι μὲν νοῦς λεπτός, ἀλλ' ἐπίφθονος
λόγος διελθεῖν, ὡς Ἔρως σ' ἠνάγκασε
  τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας.
ἀλλ' οὐκ ἀκριβῶς αὐτὸ θήσομαι λίαν·
ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.
μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
  εἴληφας ἢ δέδωκας, ὡς ἐγὼ φράσω.
πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
γαῖαν κατοικεῖς καὶ δίκην ἐπίστασαι
  νόμοις τε χρῆσθαι μὴ πρὸς ἰσχύος χάριν·
πάντες δέ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφὴν
καὶ δόξαν ἔσχες· εἰ δὲ γῆς ἐπ' ἐσχάτοις
  ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις
μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
  εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.
τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι
ἔλεξ'· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
ἃ δ' ἐς γάμους μοι βασιλικοὺς ὠνείδισας,
ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγώς,
ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος
  καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ' ἔχ' ἥσυχος.

---

527 σωτηρίας ναύκληρον Nauck 529 ἐμὸς (ἐμοὶ a) λόγος λεπ ἐπίφθονος δέ, τουτέστι φθονηθησόμενος μέν, δυνάμενος δὲ διαδῦναι τοῦ ἰσχνοῦ schol., unde ὅδ' ἔστι μέν μοι λεπτὸς Hartung, σοὶ δ' ἐ ἐμὸς λεπτὸς vel λεπτὸς μὲν ἐμὸς Weil; vulgatam lect. recte interpr schol. 531 τόξοις ἀφύκτοις BEa et in marg. l (τόφις ἀφύκτοις C) ἀφύκτων Sb[s]; utrumque agnoscit schol. 532 αὐτὰ S; οὐκ ἀκριβολ περὶ τούτου schol.; ἀντερήσομαι Naber; ἀντιθήσομαι? cf. Heracl. 1 533 οὖν om. EP (add. p), οὖν μ'? 538 τὸ χάριν γράφεται θράσει περιφράσει Verrall) schol.; κράτος Blaydes coll. Soph. Phil. 594 τιον C 545 μέν σοι S] μέντοι cet. 550 ἡσύχως BE

ἐπεὶ μετέστην δεῦρ᾽ Ἰωλκίας χθονὸς
πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
τί τοῦδ᾽ ἂν εὕρημ᾽ ηὗρον εὐτυχέστερον
ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;
οὐχ, ᾗ σὺ κνίζει, σὸν μὲν ἐχθαίρων λέχος,
καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
οὐδ᾽ εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων·
ἅλις γὰρ οἱ γεγῶτες οὐδὲ μέμφομαι·
ἀλλ᾽ ὡς — τὸ μὲν μέγιστον — οἰκοῖμεν καλῶς
καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων ὅτι
πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
παῖδας δὲ θρέψαιμ᾽ ἀξίως δόμων ἐμῶν,
σπείρας τ᾽ ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις
ἐς ταὐτὸ θείην καὶ ξυναρτήσας γένος
εὐδαιμονοίην. σοί τε γὰρ παίδων τί δεῖ;
ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις
τὰ ζῶντ᾽ ὀνῆσαι. μῶν βεβούλευμαι κακῶς;
οὐδ᾽ ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
ἀλλ᾽ ἐς τοσοῦτον ἥκεθ᾽ ὥστ᾽ ὀρθουμένης
εὐνῆς γυναῖκες πάντ᾽ ἔχειν νομίζετε,
ἢν δ᾽ αὖ γένηται ξυμφορά τις ἐς λέχος,
τὰ λῷστα καὶ κάλλιστα πολεμιώτατα
τίθεσθε. χρῆν ἄρ᾽ ἄλλοθέν ποθεν βροτοὺς
παῖδας τεκνοῦσθαι, θῆλυ δ᾽ οὐκ εἶναι γένος·
χοὔτως ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.
). Ἰᾶσον, εὖ μὲν τούσδ᾽ ἐκόσμησας λόγους·
ὅμως δ᾽ ἔμοιγε, κεἰ παρὰ γνώμην ἐρῶ,
δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.

---

562 δὲ] τε S 564 del. Nauck 565 εὐδαιμονοῖμεν Elmsley, quod probant, v. 566 ἡμῖν τε λύει debent scribere; [τοῖσιν ἐκ σέθεν — θείην] . εὐδαιμονοῦσι (dat. partic.) Kvičala παίδων τι δεῖ Brunck, μέλει ısley 567 τά γ᾽ ὄντ᾽ Nauck, τὰ σ᾽ ὄντ᾽ (τοὺς ἐκ σοῦ schol.) Kvičala χρῆν S (ἐχρῆν Cb[s])] χρὴν a, χρὴ cet. ἄρ᾽ Porson] γὰρ. τἄρ᾽ Kirchhoff 575 οὕτως δ᾽ S del. v. Dindorf 577 λέγω S

ΜΗ. ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν.
ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν σοφὸς λέγειν
πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει·
γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν
τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός.
ὡς καὶ σὺ μή νυν εἰς ἔμ' εὐσχήμων γένῃ
λέγειν τε δεινός· ἓν γὰρ ἐκτενεῖ σ' ἔπος·
χρῆν σ', εἴπερ ἦσθα μὴ κακός, πείσαντά με
γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.
ΙΑ. καλῶς γ' ἄν, οἶμαι, τῷδ' ὑπηρέτεις λόγῳ,
εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.
ΜΗ. οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.
ΙΑ. εὖ νυν τόδ' ἴσθι, μὴ γυναικὸς εἵνεκα
γῆμαί με λέκτρα βασιλέων ἃ νῦν ἔχω,
ἀλλ', ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
σὲ καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασι.
ΜΗ. μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος
μηδ' ὄλβος ὅστις τὴν ἐμὴν κνίζοι φρένα.
ΙΑ. οἶσθ' ὡς μετεύξει καὶ σοφωτέρα φανεῖ;
τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτέ,

---

579 ἐγὼ κατὰ πολλὰ πολλῶν διαφέρω ἀνθρώπων schol., ἦ πολλὰ εἶ διάφορος γένους Chr. pat. 1026, qui haud scio an πολλῶν : 584 ὡς Brunck καὶ σύ· μὴ Witzschel νυν Elmsley] νῦ 585 ἐκτενεῖ σ' EC L, a[1] in marg., * κτενεῖ σ' P, ἐκτενεῖ σε ἀντὶ τοῦ βαλεῖ σε schol.] κτενεῖ σ' B, σε κτενεῖ a, οὖν κτενεῖ p 586 πείσα Porson 587 σιγῇ] λάθρα Nauck, βίᾳ Mekler 588 οἶμαι Nau Ca, οὖν σὺ BE, οὖν μοι S ἐξυπηρέτεις a γάμῳ — λόγον? εἶργεν Nauck, τοῦτ' ἐπεῖχεν Kvičala 593 εὖ νυν vulg.] εὖ νῦ εἵνεκα] οὕνεκα, cf. 88 594 βασιλέων Elmsley] βασιλέως 596 τοῖς τοῖσι σοῖς Nikitin coll. 563 599 κνίζοι aP, Stob.] κνίζει cet. μέτευξαι (καὶ σ. φανεῖ); Elmsley, μετεύξῃ (coni.) — φανῆς (μετεύξῃ φαίνῃ schol.) Bauer 601 φαίνεσθαι et 602 δοκεῖν Reiske

μηδ' εὐτυχοῦσα δυστυχὴς εἶναι δοκεῖ.
ὕβριζ', ἐπειδὴ σοὶ μὲν ἔστ' ἀποστροφή,
ἐγὼ δ' ἔρημος τήνδε φεύξομαι χθόνα.
αὐτὴ τάδ' εἵλου· μηδέν' ἄλλον αἰτιῶ.
τί δρῶσα; μῶν γαμοῦσα καὶ προδοῦσά σε;
ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.
καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.
ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
ἀλλ' εἴ τι βούλει παισὶν ἢ σαυτῆς φυγῇ
προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
λέγ'· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ
ξένοις τε πέμπειν σύμβολ', οἳ δράσουσί σ' εὖ.
καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς, γύναι·
λήξασα δ' ὀργῆς κερδανεῖς ἀμείνονα.
οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἄν,
οὔτ' ἄν τι δεξαίμεσθα, μηδ' ἡμῖν δίδου·
κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
ἀλλ' οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
ὡς πάνθ' ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω·
σοὶ δ' οὐκ ἀρέσκει τἀγάθ', ἀλλ' αὐθαδίᾳ
φίλους ἀπωθεῖ· τοιγὰρ ἀλγυνεῖ πλέον.
χώρει· πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
αἱρεῖ χρονίζων δωμάτων ἐξώπιος·
νύμφευ'· ἴσως γὰρ — σὺν θεῷ δ' εἰρήσεται —
γαμεῖς τοιοῦτον ὥστε σ' ἀρνεῖσθαι γάμον.

603 ἐπιστροφή Kvičala 606 γάμοισί που προδ. σε vel γ. καταπροδοῦσά [erwerden 608 ἀραῖα γ' CE, ἀραῖος Wecklein 610 εἴ τι CS] εἴ τε BEa[1] σαυτῇ φυγῇ E, σαυτῇ φυγῆς L 613 δράσουσί σ' [2] δράσουσιν B, δράσουσι * E, δράσουσ' C 617 μηδ'] μὴδ' Pl, μήθ' cet. 626 ὥστ' ἀναίνεσθαι (ὥς σ' ἀναίνεσθαι Camper), antea ὥστ' ἐπαυρέσθαι ;, ὥστε σ' ἄχθεσθαι vel ὥστ' ἀναιρεῖσθαι Kvičala; ὥστε μεταμεληθῆναί τὶ τῷ γάμῳ schol.

ΣΤΑΣΙΜΟΝ Β.

ΧΟ. ἔρωτες ὑπὲρ μὲν ἄγαν ἐλθόντες οὐκ εὐδοξίαν   στρ.
οὐδ' ἀρετὰν παρέδωκαν
ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι
Κύπρις, οὐκ ἄλλα θεὸς εὔχαρις οὕτως.
μήποτ', ὦ δέσποιν', ἐπ' ἐμοὶ χρυσέων τόξων ἐφείης
ἱμέρῳ χρίσασ' ἄφυκτον οἰστόν.

στέγοι δέ με σωφροσύνα, δώρημα κάλλιστον θεῶν·
μηδέ ποτ' ἀμφιλόγους ὀρ-   ἀντιστρ.
γὰς ἀκόρεστά τε νείκη,
θυμὸν ἐκπλήξασ' ἑτέροις ἐπὶ λέκτροις,
προσβάλοι δεινὰ Κύπρις, ἀπτολέμους δ' εὐνὰς σεβίζουσ'
ὀξύφρων κρίνοι λέχη γυναικῶν.

ὦ πατρίς, ὦ δώματα, μὴ   στρ.
δῆτ' ἄπολις γενοίμαν
τὸν ἀμηχανίας ἔχουσα
δυσπέρατον αἰῶν',
οἰκτρότατον ἀχέων.
θανάτῳ θανάτῳ πάρος δαμείην
ἁμέραν τάνδ' ἐξανύσασα· μό-

---

632 μηδέ ποτ' L schol. ἐπ' ἐμοὶ] ἐμοί C 633 ἀφείης Naber 635 στέγοι Wecklein] στέργοι. στέργοιμι δὲ σωφροσύναν Herwerden 640 προσβάλλοι L (προσβάλλοιμ' ὦ l), προσβάλοιμι EP ἀπτολέμους CE Sa^{1}b] ἀπολέμους Ba l 641 δ' om. S σεβίζουσ' L] σεβίζουσα cet. σεβίζοιμ' Badham, σέβουσα ξυμφρόνων Herwerden (Weil), σέβουσα ξυνόφρων Wecklein, ἀρτίφρων Christ 642 κρίνοι] sup. ο scr. ε, quod erasum, P; κρίνει L (κρίνοι l). κρίνειν Reiske, κρῖναι Scaliger (Badham), κρίνω Weil 643 δώματα Nauck] δῶμα * * L (δῶμά τ' ἐμὸν l), δῶμα cet. 645 ἀμαχανίας lemma schol.; sic Elmsley (Dindorf) 646 δυσπέραντον Cc schol. 647 οἰκτρότατον Musgrave] οἰκτροτάτων 648 alterum θανάτῳ om. CL 649 τάνδ' ἁμέραν L, corr. l; πρὶν (ante lineam C) ἁμέραν τάνδ' B^1

χθων δ' οὐκ ἄλλος ὕπερθεν ἢ
γᾶς πατρίας στέρεσθαι.

εἴδομεν, οὐκ ἐξ ἑτέρων *ἀντιστρ.*
μῦθον ἔχω φράσασθαι·
σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις
οἰκτερεῖ παθοῦσαν
δεινότατα παθέων.
ἀχάριστος ὄλοιθ', ὅτῳ πάρεστιν
μὴ φίλους τιμᾶν καθαρὰν ἀνοί-
ξαντα κλῇδα φρενῶν· ἐμοὶ
μὲν φίλος οὔποτ' ἔσται.

ΕΠΕΙΣΟΔΙΟΝ Γ.

Ι. *Μήδεια, χαῖρε· τοῦδε γὰρ προοίμιον*
κάλλιον οὐδεὶς οἶδε προσφέρειν φίλοις.
Η. *ὦ χαῖρε καὶ σύ, παῖ σοφοῦ Πανδίονος,*
Αἰγεῦ. πόθεν γῆς τῆσδ' ἐπιστρωφᾷ πέδον;
Ι. *Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.*
Η. *τί δ' ὀμφαλὸν γῆς θεσπιῳδὸν ἐστάλης;*
Ι. *παίδων ἐρευνῶν σπέρμ' ὅπως γένοιτό μοι.*
Η. *πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον;*

νύσαι b; *ἢ 'ξανύσαι· μόγων δ'* | *οὔ τις ἄλλος* Weil, *μὴ τάνδ' ἀνύσασα* ιchenstein (*τάνδε μὴ ἐξανύσασα* et 660 *τὰν καθαρὰν* Hartung); *ἐξα-νυσα*? Hom. hym. VI, 51 650 *δ' οὐκ*] *οὐκ* a, *τίς* Elmsley 651 *πατρώας* 654 *μῦθον* Nauck] *μύθων* *ἔχομεν* l in ras. 655 *οὐ φίλων τις πόλις* S 656 *οἰκτερεῖ* Wieseler] *ᾤκτειρεν* S, *ᾤκτειρε* cet., *ᾤκτισεν* Musve 658 *δεινότατον* l[s]; sic et 647 *οἰκτροτάτων* Dindorf 659 *πάρεστιν* *πάρεστι* BCE, *παρέσται* l, *παρέστη* Badham 660 *καθαρᾶν* Badham, *ἀπὸ — καθαροῦ λογισμοῦ* schol. 661 *ἀνοίξαντι* Sa[2] *κἀμοὶ φίλος ἔσται* l 664 *προσφέρειν* C] *προσφωνεῖν* cet. (glossa); cf. Suppl. 600, Jon. 2, *Iph. A. 97* *φίλοις* BCP] φίλους cet. 665 σοφὸς C 668 ἐστάλης] *εις S*

ΑΙ. ἄπαιδές ἐσμεν δαίμονός τινος τύχῃ.
ΜΗ. δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;
ΑΙ. οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
ΜΗ. τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;
ΑΙ. σοφώτερ᾽ ἢ κατ᾽ ἄνδρα συμβαλεῖν ἔπη.
ΜΗ. θέμις μὲν ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
ΑΙ. μάλιστ᾽, ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.
ΜΗ. τί δῆτ᾽ ἔχρησε; λέξον, εἰ θέμις κλύειν.
ΑΙ. ἀσκοῦ με τὸν προύχοντα μὴ λῦσαι πόδα,
ΜΗ. πρὶν ἂν τί δράσῃς ἢ τίν᾽ ἐξίκῃ χθόνα;
ΑΙ. πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω.
ΜΗ. σὺ δ᾽ ὡς τί χρῄζων τήνδε ναυστολεῖς χθόνα;
ΑΙ. Πιτθεύς τις ἔστι, γῆς ἄναξ Τροιζηνίας.
ΜΗ. παῖς ὡς λέγουσι Πέλοπος εὐσεβέστατος.
ΑΙ. τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω.
ΜΗ. σοφὸς γὰρ ἀνὴρ καὶ τρίβων τὰ τοιάδε.
ΑΙ. κἀμοί γε πάντων φίλτατος δορυξένων.
ΜΗ. ἀλλ᾽ εὐτυχοίης καὶ τύχοις ὅσων ἐρᾷς.
ΑΙ. τί γὰρ σὸν ὄμμα χρώς τε συντέτηχ᾽ ὅδε;
ΜΗ. Αἰγεῦ, κάκιστός ἐστί μοι πάντων πόσις.
ΑΙ. τί φῄς; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
ΜΗ. ἀδικεῖ μ᾽ Ἰάσων οὐδὲν ἐξ ἐμοῦ παθών.
ΑΙ. τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
ΜΗ. γυναῖκ᾽ ἐφ᾽ ἡμῖν δεσπότιν δόμων ἔχει.
ΑΙ. οὔ που τετόλμηκ᾽ ἔργον αἴσχιστον τόδε;
ΜΗ. σάφ᾽ ἴσθ᾽· ἄτιμοι δ᾽ ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.
ΑΙ. πότερον ἐρασθεὶς ἢ σὸν ἐχθαίρων λέχος;
ΜΗ. μέγαν γ᾽ ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
ΑΙ. ἴτω νυν, εἴπερ, ὡς λέγεις, ἐστὶν κακός.

---

676 θεμιστὸν Hermann, ἦ θεμιτὸν Heimsöth 679 λύσειν C 684 Aegei est in Ea παῖς θ᾽ E 686 ἀνὴρ Porson] ἀνὴρ 687 κἀμοὶ δὲ S 695 οὔ που Witzschel] ἦ που. ἦ γὰρ Elmsley (μή που Schenkl-Prinz, ab *Euripide alienum*) *696 οἶσθ᾽ E* 698-699 in suspic. voc. Wecklein; ἔρωτ᾽· ἄπιστος — φίλοις; L. Schmidt ἴτω νυν Barnes] ἴτω νῦν

ΜΗ. ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
ΑΙ. δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
ΜΗ. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
ΑΙ. συγγνωστὰ [μὲν γὰρ] ἦν σε λυπεῖσθαι, γύναι.
ΜΗ. ὄλωλα· καὶ πρός γ' ἐξελαύνομαι χθονός.
ΑΙ. πρὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν.
ΜΗ. Κρέων μ' ἐλαύνει φυγάδα γῆς Κορινθίας.
ΑΙ. ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπήνεσα.
ΜΗ. λόγῳ μὲν οὐχί, καρτερεῖ δ' ἃ βούλεται.
ἀλλ' ἄντομαί σε τῆσδε πρὸς γενειάδος
γονάτων τε τῶν σῶν ἱκεσία τε γίγνομαι,
οἴκτειρον οἴκτειρόν με τὴν δυσδαίμονα
καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
δέξαι δὲ χώρᾳ καὶ δόμων ἐφέστιον.
οὕτως ἔρως σοι πρὸς θεῶν τελεσφόρος
γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.
εὕρημα δ' οὐκ οἶσθ' οἷον ηὕρηκας τόδε·

---

700 ἀνδρῶν] ἀνθ' ὧν (sc. φίλων) Weil 703 μὲν γὰρ S, non genuinum] γὰρ ἂν C, γὰρ cet.; μεντἄρ' Hermann, κἄρτ' ἄρ' Kirchhoff, γὰρ λίαν (sine ἦν) Nauck, συγγνώστ' ἄγαν ἄρ' Wecklein, συγγνωστέον τἄρ' Stadtmüller, alii alia λελυπῆσθαι E 705 καινὸν] μεῖζον Nauck, δεινὸν Prinz αὖ λέγεις] ἀγγέλλεις E, ἀγγελεῖς Christ. pat. 138 706 τῆσδ' ἔξω χθονός Musurus (Hartung); γῆς Κορινθίας fortasse glossa ex 702 petita 708 καρτερεῖ δ' ἃ βούλεται Weil] καρτερεῖν δὲ βούλεται. γρ. καρδίᾳ δὲ βούλεται b[s], a[1] in marg.; τῷ λόγῳ μὲν προσποιεῖται, τῷ δὲ ἔργῳ οὐ θέλει κρατεῖν καὶ ἀντέχειν schol., quem λόγῳ μέν, οὐχὶ κ. δ. β. legisse iudicavit Elmsley (Pflugk, Klotz), λόγῳ μὲν οὐχί, κ. δ' οὐ βούλεται Porson (Lenting, Hartung); καρτερῶς δὲ βούλεται Metzger, κἄρτ' vel τἄργ' ἐᾶν δ. β. Schoene, κἄρτ' ἐᾷ δ' ἃ β. L. Schmidt, κἄρτα δ' ἔργῳ β. Rauchenstein, κἄρτα δ' ἔργοισιν θέλει Wecklein; καρδίᾳ δὲ καρτερεῖ Heimsoeth; κερτομεῖν δὲ βούλεται Stadtmüller coll. Cycl. 687, Alc. 1124, Iph. A. 1006 710 alterum τε om. CP, eras. in a 713 δόμων Wecklein] δόμοις 714 σοι Wecklein] σοὶ vulg. 714-715 in susp. voc. Dindorf (Prinz), post 718 transponit F. W. Schmidt 715 θάνοις CS (P, θάνεις L, οι L[1s])] θάνῃς cet.; θάλοις Nauck σθένοις Schneidewin, πέλοις Dindorf

παύσω δέ σ' ὄντ' ἄπαιδα καὶ παίδων γονὰς
σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.
ΑΙ. πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν,
γύναι, πρόθυμός εἰμι, πρῶτα μὲν θεῶν,
ἔπειτα παίδων ὧν ἐπαγγέλλει γονάς·
ἐς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
[οὕτω δ' ἔχει μοι· σοῦ μὲν ἐλθούσης χθόνα,
πειράσομαί σου προξενεῖν δίκαιος ὤν.]
τοσόνδε μέντοι σοι προσημαίνω, γύναι·
ἐκ τῆσδε μὲν γῆς οὔ σ' ἄγειν βουλήσομαι,
αὐτὴ δ' ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
μενεῖς ἄσυλος κοὔ σε μὴ μεθῶ τινι.
[ἐκ τῆσδε δ' αὐτὴ γῆς ἀπαλλάσσου πόδα·
ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.]
ΜΗ. ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.
ΑΙ. μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;
ΜΗ. πέποιθα· Πελίου δ' ἐχθρός ἐστί μοι δόμος
Κρέων τε. τούτοις, ὁρκίοισιν ἐνζυγείς,
ἄγουσιν οὐ μεθεῖ' ἂν ἐκ γαίας ἐμέ·

---

717 *παύσω γέ σ' ὄντ'* F. W. Schmidt, *παύσω γὰρ ὄντ'* vel *π. σε φύντ'* Nauck 721 *ὧν* C, *ὧ* * L] *ὧν μ'* l cet. 723 *ἔχει μοι* Lab[s]] *ἔχοιμι* a[2] cet. 723-724 post Hirzelium, 729 post Nauckium, 730, quem olim ante 727 posuit Prinz, primus damnat Kvičala] 725-728 Kirchhoff (Prinz, Weil, Wecklein). Illos vv. arte multo inferiores (724 *πειράσομαι 'γὼ* Porson), qui videntur respicere *ἐπιμαχίαν* illam ab Atheniensibus cum Corcyraeis factam, dubito utrum ipse Eurip. pro genuinis substituerit, cum a. 432 hanc fabulam iterum docuit, an ex Neophronis Medea aliquis transscripserit 725 *τοσόνδε* a] *τοσόνγε* cet. *προσημανῶ* a 732 in susp. voc. Nauck *καλῶς*] *γ' ἃ δεῖ* Seyffert 735 *τούτοις* Wecklein] *τούτοισι δ'* BCa, *τούτοις δ'* cet. *ὁρκίοισιν ἐνζυγείς* Kvičala (*ἐγκατειλημμένος, ἐμπεπλεγμένος* schol.) coll. v. 161, Suppl. 1229, Hel. 1654, El. 98] *ὁρκίοισι μὲν ζυγείς*. An *ὁρκίοις μὲν ἐνζυγείς*? 736 *αἰτοῦσιν* Badham *μεθεῖ'* L schol.] *μεθεῖς* aP, *με* * * * B, *μεθῇς* bE, *μεθ' ἧς* C; videntur haec orta esse ex correctura propter activum *μεθῶ* 728 facta

λόγοις δὲ συμβὰς καὶ θεῶν ἀνώμοτος
φίλος γένοι᾽ ἂν κἀπικηρυκεύματα
οὐκ ἂν παρεῖο· τἀμὰ μὲν γὰρ ἀσθενῆ,
τοῖς δ᾽ ὄλβος ἔστι καὶ δόμος τυραννικός.
πολλὴν ἔδειξας, ὦ γύναι, προμηθίαν·
ἀλλ᾽, εἰ δοκεῖ σοι, δρᾶν τάδ᾽ οὐκ ἀφίσταμαι.
ἐμοί τε γὰρ τάδ᾽ ἐστὶν ἀσφαλέστατα,
σκῆψίν τιν᾽ ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι,
τὸ σόν τ᾽ ἄραρε μᾶλλον· ἐξηγοῦ θεούς.
Γ. *ὄμνυ πέδον Γῆς πατέρα θ᾽ Ἥλιον πατρὸς*
τοὐμοῦ θεῶν τε συντιθεὶς ἅπαν γένος,
[τί χρῆμα δράσειν ἢ τί μὴ δράσειν; λέγε.]
Γ. *μήτ᾽ αὐτὸς ἐκ γῆς σῆς ἔμ᾽ ἐκβαλεῖν ποτε,*
μήτ᾽ ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.

---

737 *ἀνώμοτος* d, schol. a Didymo profectum (*μὴ ὀμόσας*)] *ἐνώμοτος* a, (vel *ἀνα*) a[2s], *ἐνώμοτος* cet. et schol. alterum; *κοὐ-ἐνώμ.* (Reiske) klein, *μὴ-ἐνώμ.* (Elmsley) Nauck 738 *φίλος* (sc. *τούτοις*, alii *ἐμοί*)] ɩς Nauck, *φαῦλος* Badham, *σφαλερὸς* Heimsöth (Rauchenstein) *κἀπι-κεύματα* Didymus, teste schol.] *κἀπικηρυκεύμασιν* EaL, *κἀπὶ κηρυκεύ-* ; cet. 739 *παρεῖο* Stadtmüller, coll. Herc. f. 779] *πίθοιο* (glossa); *κηρυκεύματα* | *οὐκ ἂν πρόοιο* Herwerden, *τάχ᾽* (Wyttenbach) *ἂν προθεῖο* mann) Hartung, *τάχ᾽ ἂν πίθοι σε* (Lenting) Nauck, *σφαλερὸς γένοι᾽ ἂν κἀπ.* | *ον πίθοι σε* Rauchenstein, *κἀπ. ὀκνῶν πίθοιο* Leo (Munro), *καὶ τὰ κηρ.* | *ἂν παρωθοῖς* Heimsoeth; *κἀπικηρυκεύμασι* | *σύγ᾽ ἂν πίθοιο* Brunck, *τάχ᾽* *ɩίθοιο* Wyttenbach, *νοῦν ἂν τίθοιο* Schaefer; alter schol., qui '*οὐκ ἂν πρὸς ἐκείνους φιλίαν προκρίναις. ἐπικηρυκεύματα γὰρ τὰ διὰ τῶν κηρύ-γινόμενα πρὸς φιλίαν*' (immo 'expostulationes'), videtur Hermanno legisse: *οις δ᾽, ὀρκ. μὴ ζυγείς,* | *ἄγ. ἂν μεθεῖ᾽ ἂν ἐκ γ. ἐμέ·* | *λ. δὲ σ. καὶ θ. ι.* | *φ. γ. ἄν, κἀπικηρυκεύματα* | *οὐκ ἂν προθεῖο.* 741 *ἔδειξας* Sigonius] *ας* *ὦ γύναι*] *ἐν λόγοις* S (*ὦ γύναι* l in marg.); *ἐν λόγοις* et *ἔλεξας* ιemata; *ἔθηκας ἐν λόγοις* olim Nauck, coll. 915 743 *ἀσφαλέστερα* S (P, *αλέστ* * * * L, *ἀσφαλέστατα* l, *ερα* l[s]) b 746 *γρ. ἡλίου θ᾽ ἁγνὸν σέβας* ιarg. a[1]l 748 del. Nauck; repet. ex Iph. T. 738 *δράσ* * E, *ειν* in E[1] *μὴ δρᾶσαι* Pb[s] 751 *ζῶν* CS (P, * * * L, γῆς l, γρ. ζῶν l[s]) *ῆς* cet.

ΑΙ. ὄμνυμι Γαίας δάπεδον Ἡλίου τε φῶς
θεούς τε πάντας ἐμμενεῖν ἅ σου κλύω.
ΜΗ. ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;
ΑΙ. ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.
ΜΗ. χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
πράξασ' ἃ μέλλω καὶ τυχοῦσ' ἃ βούλομαι.
ΧΟ. ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
πελάσειε δόμοις, ὧν τ' ἐπίνοιαν
σπεύδεις κατέχων πράξειας, ἐπεὶ
γενναῖος ἀνήρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.

ΜΗ. ὦ Ζεῦ Δίκη τε Ζηνὸς Ἡλίου τε φῶς,
νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
γενησόμεσθα κεἰς ὁδὸν βεβήκαμεν·
[νῦν δ' ἐλπὶς ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκην.]
οὗτος γὰρ ἀνὴρ ᾗ μάλιστ' ἐκάμνομεν
λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,
μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.
ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.

---

752 *Γαίας* Badham] *γαῖαν* *δάπεδον Ἡλίου τε φῶς* Badham] *λαμπ ἡλίου τε φῶς* ES, *λαμπρόν θ' ἡλίου φάος* B, *λαμπρὸν ἡλίου φάος* Ca; *καὶ λ. Ἡλίου φάος* Kirchhoff, *Γαῖαν Ἡλίου θ' ἁγνὸν σέβας* (vel *σέλας*) M grave (Dindorf, Weil), quod adscr. ad 746 753 *ἐμμενεῖν* Schaefer] *ἐμ νειν* *ἅ*] *οἷς* Schaefer 754 *παθεῖν* Dindorf 755 *βροτοῖς* S, Christ. pat. 7 post hunc v. excidisse aliquot vv. Aegei valere Medeam iubentis susp. Na (Weil) 756 *πάντα*] *τἀμὰ* Nauck 758 *τυχοῦσ' ὧν* EP 759 *τα ἔνιοι τῷ χορῷ, ἔνιοι τῇ Μηδείᾳ προσνέμουσιν* schol. 767 del. Bo *(Hirzel), ante 765 ponit* Treplin δ' del. Matthiae νῦν δ' ἐ.. οἵ με πρ *δοσαν τ. δ. Mekler* 768 *ἀνὴρ* Porson] *ἀνὴρ*

πέμψασ᾽ ἐμῶν τιν᾽ οἰκετῶν Ἰάσονα
ἐς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι·
μολόντι δ᾽ αὐτῷ μαλθακοὺς λέξω λόγους,
ὡς νῦν δοκεῖ μοι ταῦτα καὶ καλῶς ἔχειν
[γάμους τυράννων οὓς προδοὺς ἡμᾶς ἔχει]
καὶ ξύμφορ᾽ εἶναι καὶ φίλως ἐγνωσμένα.
παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
οὐχ ὡς λιποῦσ᾽ ἂν πολεμίας ἐπὶ χθονός,
[ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι],
ἀλλ᾽ ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
πέμψω γὰρ αὐτοὺς δῶρ᾽ ἔχοντας ἐν χεροῖν,
[νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα,]
λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον·
κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
κακῶς ὀλεῖται πᾶς θ᾽ ὃς ἂν θίγῃ κόρης·
τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
ἐνταῦθα μέν σοι τῶνδ᾽ ἀπαλλάσσω λόγον·
ᾤμωξα δ᾽ οἷον ἔργον ἔστ᾽ ἐργαστέον
τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
τἄμ᾽· οὔτις ἔστιν ὅστις ἐξαιρήσεται·
δόμον τε πάντα συγχέασ᾽ Ἰάσονος

---

777 damn. Dind., 778 Valckenaer (plerique), 778-779 Porson, 778 ante '7 ponit Velsen 777 *ὡς νῦν* Köchly, cf. 884, 893] *ὡς καὶ. ὡς συνδοκεῖ* ͻι Reiske, *ὥς μοι δοκεῖ δὴ* Hartung, *ὡς δὴ δοκεῖ μοι* olim Weil, *ὡς εὖ δ.* . Stadtmüller *ταὐτὰ* Barnes, *ταῦθ᾽ ἃ βουλεύσας ἔχει* Hirzel *ἔχειν* Her-ιgiana (Hartung-Stadtmüller)] *ἔχει* 779 *φίλως* ego, cf. 549] *καλῶς* (glossa). *ἀσφαλῶς* Stadtmüller *εἰργασμένα* S 781 *λιποῦσ᾽ ἂν* Elmsley] *λιποῦσα.* *'πω σφε* Burges, *οὔ σφ᾽ οἰκιοῦσα* Stadtmüller, *διδοῦσα - καθυβρίσαι* Bauer

782 del. Brunck ut confictum ex 1060, 1 784 *αὐτῇ* Valckenaer 35 del. Valckenaer, om. C *τήνδε μὴ*] *γρ. δῆθεν μὴ* schol., unde *δῆθεν* *:εσίῳ λόγῳ* Elmsley *φυγεῖν* ES 786 ante 785 positum in E; damn. alckenaer propter 949 *πλόκον*] *στέφος* E 787 *κἂν παραλαβοῦσα* Reiske

790 *μέν σοι τῶνδ᾽* ego ex Chr. pat. 837, ἀποτερματίζω σοι τὸν λόγον :hol.] *μέντοι τόνδ᾽. μὲν δὴ τόνδ᾽* Nauck 792 τουνθένδ᾽ ἐν B, τεῦ sup-'ν *b* *798 οὔτις - ὅστις* singulare pro οὔτις - ὃς

ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
φεύγουσα καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
[ἴτω· τί μοι ζῆν κέρδος; οὔτε μοι πατρὶς
οὔτ' οἶκος ἔστιν οὔτ' ἀποστροφὴ κακῶν.
ἡμάρτανον τόθ' ἡνίκ' ἐξελίμπανον
δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
πεισθεῖσ', ὃς ἡμῖν σὺν θεῷ τίσει δίκην.
οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
ζῶντας τὸ λοιπὸν οὔτε τῆς νεοζύγου
νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακὴν κακῶς
θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
μηδείς με φαύλην κἀσθενῆ νομιζέτω
μηδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,
βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν εὐμενῆ·
τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.]

ΧΟ. ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
σέ τ' ὠφελεῖν θέλουσα καὶ νόμοις βροτῶν
ξυλλαμβάνουσα δρᾶν σ' ἀπεννέπω τάδε.

ΜΗ. οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
τάδ' ἐστί, μὴ πάσχουσαν, ὡς ἐγώ, κακῶς.

ΧΟ. ἀλλὰ κτανεῖν σὸν σπέρμα τολμήσεις, γύναι;

ΜΗ. οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.

ΧΟ. σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.

ΜΗ. ἴτω· περισσοὶ πάντες οὑν μέσῳ λόγοι.

798-810 del. Hirzel; aut ex altera recensione aut ex Neophronis l (v. *ὑπόθεσιν*) adscriptos esse suspiceris 798 *ζῆν* CS] *ζῆν ἔτι* cet. *πατρὶς*] *γρ. πατὴρ* a[1] in marg.; *τί τοι ζῆν κέρδος, οἷσιν* (liberis) *οὐ* 1 (*πατὴρ*?), *οὐκ οἶκός ἐστιν, οὐκ ἀποστροφὴ κ.* Weil 799 *ἀποστροφὴ*] *γρ. λαγὴ* b[s]a[1s] 802 *τίσει*] *δώσει* S 805 *παῖδ'*] *γρ. δας* b[s]. *τέκν'* Herw *κακὴν κακῶς* CEab[s]] *κακῶς κακὴν* cet. 811 *ἐκοινώσω* E; v. mihi susp *cf. indic. metrorum* 816 *σὸν σπέρμα* S] σὸν παῖδα a, σὼ παῖδε a[2] ce 818 *γένοιό γ'*] *γένοι'* B; *σὺ δ' αὖ γένοι' ἂν* Brunck γύναι Lb[s]

ἀλλ' εἶα χώρει καὶ κόμιζ' Ἰάσονα·
ἐς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
λέξῃς δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
εἴπερ φρονεῖς εὖ δεσπόταις γυνή τ' ἔφυς.

ΣΤΑΣΙΜΟΝ Γ.

Ἐρεχθεΐδαι τὸ παλαιὸν ὄλβιοι στρ.
καὶ θεῶν παῖδες μακάρων ἱερᾶς
χώρας ἀπορθήτου τ' ἄπο φερβόμενοι
κλεινοτάταν σοφίαν,
αἰεὶ διὰ λαμπροτάτου
βαίνοντες ἁβρῶς αἰθέρος, ἔνθα ποθ' ἁγνὰς
ἐννέα Πιερίδας Μούσας λέγουσι
ξανθὰν Ἁρμονίαν φυτεῦσαι·

τοῦ καλλινάου τ' ἐπὶ Κηφισοῦ ῥοαῖς ἀντιστρ.
τὰν Κύπριν κλῄζουσιν ἀφυσσαμέναν
χώραν ⟨τε κηπεύειν⟩ καταπνεῖν τ' ἀνέμων
ἡδυπνόους αὔρας,
αἰεὶ δ' ἐπιβαλλομέναν

---

320 *εἶα* S] *εἴα* cet.; *πρὸς τὴν θεράπαιναν φησιν* schol. 821 *σοὶ δὴ* C *.έξῃς* Elmsley] *λέξεις*. Haec schol. choro Medeam dicentem facit, non recte 323 *φρονεῖς γ'* lemma scholii 824 *Ἐρεχθεΐδαι* Elmsley] *Ἐρεχθεῖδαι καὶ* et 836 *τὰν* del. Weil 826 *ἄπο, φερβόμενοι* a[2] schol. (Weil)] *ἀπο-όμενοι* a et cet. 835 *τοῦ*] *οὗ* Nauck *ἐπὶ* Sb[2]] *ἀπὸ* cet. *Κηφισσοῦ* ' *ῥοὰς* E[2s], *ῥοῶν* a, *ῥοᾶν* Hartung, *κ. παρὰ Κ. ῥοαῖς* | *Κύπριν* (om. Nauck 838 post *χώραν* lacunae signa posuit Kirchhoff, ⟨*κατάρδειν τνοὰς*⟩ inser. Wecklein, ⟨*τε κηπεύειν*⟩ ego, coll. Hipp. 78 et Pausan. *I*, 19 *μα Ἀφροδίτης τῆς ἐν Κήποις* *καταπνεῖν* (cf. 844 *πέμπειν*) *τ' ἀνέμων καταπνεῦσαι μετρίας ἀνέμων*. Videtur *μετρίας* explicandi causa supra *νόους* scriptum fuisse 839 *ἡδυπνόους* S, post *αὔρας* add. b, om. cet.; *νόους et αὔρας*, quod a metro abhorreat, grammaticis deberi censet G. ann (Wecklein); sed cf. 980, 987. Andr. 775, 785. An Ζεφύρους?

χαίταισιν εὐώδη ῥοδέων πλόκον ἀνθέων
τᾷ σοφίᾳ παρέδρους πέμπειν ἔρωτας,
παντοίας ἀρετᾶς ξυνεργούς.

πῶς οὖν ἱερῶν ποταμῶν ἢ πόλις ἢ φίλων στρ.
πόμπιμός σε χώρα
τὰν παιδολέτειραν ἕξει,
τὰν οὐχ ὁσίαν μεθ' ἁγνῶν;
σκέψαι τεκέων πλαγάν,
σκέψαι φόνον οἷον αἴρει.
μή, πρὸς γονάτων σε πάντη
πάντως ἱκετεύομεν,
τέκνα φονεύσῃς.

πόθεν θράσος ἢ φρενὸς ἢ χειρὶ τέκνων σέθεν ἀντιστρ.
καρδίᾳ σὺ τόλμαν
δεινὰν προσάγουσα λήψει;
πῶς δ' ὄμματα προσβαλοῦσα
τέκνοις ἄδακρυν μοῖραν

847 ἢ π. ἢ φ. S] ἢ φ. ἢ π. cet., πόλις pro ἢ π. Badham, φυτῶν φίλων Wecklein 848 πόμπιμον Cbla², ῥύσιος Rauchenstein, κάρπιμ Wecklein; φίλων πόμπιμος = εὔξεινος Hipp. 157 (Phoen. 984) χ B, ν del. b, χῶρος Weil 850 μεθ' ἁγνῶν Elmsley (Herwerden)] μετ' ἀ (glossa sup. ἁγνῶν scr.), quod schol. et interpr. quidam cum σκέψαι iungunt; μετ' ἀστῶν Jacobs (Meineke), μέτοικον Prinz, μεταλλᾶν H (μεταλλῶν Petit), μετάλλα Klette, μετέγνων Mekler 852 αἴρει Elm αἱρῇ 853 πάντη | πάντως Herwerden] πάντες πάντως S, πάντως π cet., πάντως πάντως Porson, πάντως πάντῃ σ' Nauck 855 φονεύσῃς Br μὴ φονεύσῃς. μὴ τέκνα φονεύσῃς Hermann 856 πόθεν] πῶς δὲ l, πῶ Brunck φρεσίν Beck (Dindorf) 857 τέκνοις Reiske (Elmsley), ; τέκνον, σέθεν Nauck, χειρὶ μένος σέθεν Stadtmüller, χειρί τι νῦν σ Heimsoeth, πόθεν δὲ (Hermann) θράσος τεκέων | ἢ φρενὸς ἢ χερὸς Weil alia 858 καρδίᾳ σὺ Kayser] καρδίᾳ τε. καρδίᾳ προσάγουσα = βιοτ 992, cf. Heracl. 583, Hipp. 841, Hec. 1027 τόλμαν — λήψει ego] λήψ τόλμαν. καρδίᾳ 'πιλήψει Hartung, καρδίαν τε λήψει Elmsley, καρδίαν πε Wecklein 860 ὄμματα ESb] ὄμμα E¹ cet. 861 ἄδακρυς Schen

σχήσεις φόνου; οὐ δυνάσει,
παίδων ἱκετᾶν πιτνόντων,
τέγξαι χέρα φοινίαν
τλάμονι θυμῷ.

ΕΠΕΙΣΟΔΙΟΝ Δ.

4. *ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς*
οὔ τἂν ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι
τί χρῆμα βούλει καινὸν ἐξ ἐμοῦ, γύναι.
[Η. *Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων*
συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
εἰκός σ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα.
ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
κἀλοιδόρησα· σχετλία, τί μαίνομαι
καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ,
ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι
πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
γήμας τύραννον καὶ κασιγνήτους τέκνοις
ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;
οὐκ εἰσὶ μέν μοι παῖδες, οἶδα δὲ χθόνα
φεύγοντας ἡμᾶς καὶ σπανίζοντας φίλων;
ταῦτ' ἐννοήσασ' ᾐσθόμην ἀβουλίαν
πολλὴν ἔχουσα καὶ μάτην θυμουμένη.

---

862 *φόνου* BE] *φόνον* b (ω sup. *ου* scr. b) et cet.; *σχήσεις; φόνῳ οὐ δ.* lit. Brubachiana aliaeque editt.; *σχήσεις ποτέ; πῶς δ'* Herwerden 864 *χέρα* *χεῖρα* cet. *φοινίαν* l] *φοίνιον* L, *φονίαν* BCEa, *φόνιον* Pb[s] 55 *ἐν τλάμονι* Musurus, *εὐτλάμονι* et 855 *μὴ τ. φ.* Hermann, *παντλάμονι* eiske 867 *οὔ τἂν* Porson] *οὐκ ἂν* *ἁμάρτης* S; *οὐ μὴ 'ξαμάρτῃς?* *τοῦδέ γ'* Chr. pat. 1988] *τοῦδε τ'* CEa, *τοῦδ' ἔτ'* B 871 *εἰκός γ'* S 874 *βουλεύσαν* P 882 *ἐννοηθεῖσ'* S, Chr. pat. 806, fort. recte, cf. 47, 900, 925; semel iv. *El. 639*

νῦν οὖν ἐπαινῶ σωφρονεῖν τέ μοι δοκεῖς
κῆδος τόδ' ἡμῖν προσλαβών, ἐγὼ δ' ἄφρων,
ᾗ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων
καὶ ξυμπεραίνειν καὶ παριστάναι λέχῃ
νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
ἀλλ' ἐσμὲν οἷόν ἐσμεν, οὐκ ἐρῶ κακόν,
γυναῖκες· οὔκουν χρή σ' ὁμοιοῦσθαι φύσιν
οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
παριέμεσθα, καί φαμεν κακῶς φρονεῖν
τότ', ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
ὦ τέκνα τέκνα, δεῦτε, λείπετε στέγας,
ἐξέλθετ', ἀσπάσασθε καὶ προσείπατε
πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα
τῆς πρόσθεν ἔχθρας ἐς φίλους μητρὸς μέτα·
σπονδαὶ γὰρ ἡμῖν καὶ μεθέστηκεν χόλος.
λάβεσθε χειρὸς δεξιᾶς· οἴμοι, κακῶν
ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων. —
ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον
φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγώ,
ὡς ἀρτίδακρύς εἰμι καὶ φόβου πλέα.
χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη
ὄψιν τέρειναν τήνδ' ἔπλησα δακρύων.

ΧΟ. κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ,

---

884 οὖν σ' Barnes τέ μοι Lascaris] τ' ἐμοὶ 886 ἦν B[1] 887 hab. Nauck ξυγγαμεῖν σοι L παριστάναι λέχῃ Hartung] παρεσ λέχει. λεχοῖ Lenting 890 χρὴ S (L, χρῆ P)] χρῆν Ea, 'χρῆν C, ἐχ σ' ἐξομοιοῦσθαι B, ἐξομοιοῦσθαί σε χρῆν Prinz, χρὴ 'ξομοιοῦσθαι V φύσιν Stadtmüller coll. Andr. 354, Soph. Ai. 549] κακοῖς, aut glossa ε 889 illat. 893 τάδε Sb[s]; cf. 777, 908] τόδε cet. 894-923 sic ponit Prinz: *ΙΑ.* 908-913. *ΜΗ.* 894-898. *ΙΑ.* 914-917. *ΜΗ.* 918-921 905. *ΧΟ.* 906-907. *ΙΑ.* 922-923 894 δεῦρο Elmsley, fort. recte, δεῦτε praeter hunc locum non invenitur apud tragicos 899 οἴμοι, ὡς] alii οἴμοι κακῶν· ὡς 905 τέρειναν Barnes] τερείνην E, τερεινὴν (τ C) cet. 906 χλωρὸν] θερμὸν Chr. pat. 479; cf. 922, Hel. 1189

μὴ καὶ προβαίη μεῖζον ἢ τὰ νῦν κακόν.
αἰνῶ, γύναι, τάδ' οὐδ' ἐκεῖνα μέμφομαι·
εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος
γάμους παρεμπολῶντος ἀλλοίους πόσει.
ἀλλ' ἐς τὸ λῷον σὸν μεθέστηκεν κέαρ,
ἔγνως δὲ τὴν νικῶσαν ἀλλὰ τῷ χρόνῳ
βουλήν· γυναικὸς ἔργα ταῦτα σώφρονος.
ὑμῖν δέ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
πολλὴν ἔθηκε σὺν θεοῖς προμηθίαν·
οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι.
ἀλλ' αὐξάνεσθε· τἄλλα δ' ἐξεργάζεται
πατήρ τε καὶ θεῶν ὅστις ἐστὶν εὐμενής·
ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας
[στρέψασα λευκὴν ἔμπαλιν παρηίδα]

---

907 μὴ καὶ Dindorf] καὶ μή. μήτοι Kirchhoff τὰ νῦν Elmsley; sic ᵑper Euripides, cf. 494, Or. 436, 660, Hel. 631, Heracl. 641, Herc. f. 246, ·h. A. 537, Hipp. 903?] τὸ νῦν 908 οὐ * a, οὐδ' a[1], οὐκ EL Chr. pat.)6 (VBb, οὐδ' CMD) 910 γάμον B, ς add. B[1]; ἀλλοίον B, ς add. b χρεμπολῶντος ἀλλοίους πόσει antiquitus corrupta: ἰδίως δὲ εἴρηκε πόσει ἀντὶ οῦ πόσιος. οἱ δὲ ὑποκριταὶ ('grammatici' Heimsoeth) ἀγνοήσαντες γράφουσιν ντὶ τοῦ πόσει 'ἐμοῦ', ὅπερ οὐ δεῖ ἀλλοῖος neque invenitur usquam apud ·agicos (Dindorf) et alienum est a loci sententia (Stadtmüller); παρεμπο-ῶντι (παρεμπολῶντί γ' ἀλλ. Musurus) δευτέρους Heimsoeth, καλλίους Berardakis et Mekler, ποικίλους Wecklein, δώμασιν Dindorf παρεμπολῶντος on posse coniungi cum πόσει nisi si dat. praecedat (πόσει — γάμους Lenting) vicit Stadtmüller, qui aut γάμους παρεμπολῶντος ἄλλους (vel γάμον — λλον propter metrum) ἄρσενος (ἀνδρὸς π. αὖ νέους γάμους Köchly, γαμέτου . ἀλλοίους σπόρους Weil), aut παρεμπολῶντι συλλέκτρου πόσει coll. Or. 1502, hoen. 756, 781, Herc. f. 1 911 καθέστηκεν E 912 τῷ CSab[s]] νῦν et. (νῦν ex interpret. superscr., cf. schol: ἀλλὰ νῦν — τὸ κάλλιστον — βου-εύῃ). σὺν χρόνῳ Wecklein 913 seclud. Lenting (Nauck) 914 ὑμῖν] ὑμῶν Valckenaer; 'diversa videntur ὑμῶν ἔθετο προμ. et ὑμῖν ἔθηκε πρ.' Elmsley 915 σωτηρίαν S 922 αὔτη E (' et ' add. E[2])] αὐτὴ cet. 923 ego seclusi

κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχει λόγον;
ΜΗ. οὐδέν· τέκνων τῶνδ' ἐννοουμένη πέρι.
ΙΑ. τί δή, τάλαινα, τοῖσδ' ἐπιστένεις ἔτι;
ΜΗ. ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξηύχου τέκνα,
ἐσῆλθέ μ' οἶκτος εἰ γενήσεται τάδε.
ΙΑ. θάρσει, γύναι· τὰ τῶνδ' ἐγὼ θήσω καλῶς.
ΜΗ. δράσω τάδ'· οὔτοι σοῖς ἀπιστήσω λόγοις·
γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.
ἀλλ' ὧνπερ εἵνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ, —
κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
μήτ' ἐμποδὼν σοὶ μήτε κοιράνοις χθονὸς
ναίειν, δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις, —
ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ,
παῖδας δ', ὅπως ἂν ἐκτραφῶσι σῇ χερί,
αἰτοῦ Κρέοντα τήνδε μὴ φεύγειν χθόνα.
ΙΑ. οὐκ οἶδ' ἂν εἰ πείσαιμι, πειρᾶσθαι δὲ χρή.
ΜΗ. σὺ δ' ἀλλά νιν κέλευσον αἰτεῖσθαι κόρην.

---

post Hartungium, cf. 1006, 1148 924 secl. Schoene, cf. 1007 926-928 post 931 posuit Ladewig, 928 Burges, 926-927 Hirzel 929 *δή, τάλαινα*] *δῆτα λίαν* S, *δῆτα λοιπὸν* Chr. pat. 737 *τοῖς* E, *τοῖς δ'* E[1], *σοῖς* a *ἔτι* ego] *τέκνοις* (glossa) 930 *ἐξηύχου* Scaliger] *ἐξηύχουν* (*ὅτε ἐθάρσουν κτλ.* schol.)

926 *θάρσει, γύναι* Stadtmüller] *θάρσει νῦν* (*νύν* P, *νυν* Barnes)· *εὖ τὰ τῶνδ' ἐγὼ θήσω καλῶς* Stadtmüller multa similia conferens] *γὰρ τῶνδ' ἐγὼ θήσω πέρι* B (*θήσομαι* b, *γρ. θήσω* b[s]) EL Chr. pat. 761, *γὰρ νῦν τῶνδ' ἐγὼ θήσω πέρι* P, *γὰρ τῶνδε νῦν θήσω πέρι* C, *γὰρ τῶνδε θήσομαι πέρι* d, *γὰρ τῶνδε νῦν θήσομαι πέρι* a; *εὖ γὰρ τἀμφὶ τῶνδε θήσομαι* Wecklein, sed *εὖ* (*καλῶς*) *τιθέναι* (*τίθεσθαι*) neque cum *περί* neque cum *ἀμφί* unquam ab Eurip. coniungitur; *θήσομαι βίον* Leo 927 *οὔτι* S Chr. pat. 767, (qui *πέποιθα, κοὔτι σοῖς ἀπιστῶ που λόγοις*), *οὐ * * ** C 932 *εἵνεκ'*] *οὕνεκ'*, cf. ad 88 933 *τῶν δὲ νῦν* Herwerden, *τῶν δ' ἔτι* Verrall *μεμνήσομαι* E[s] 934 *ἀποστέλλειν* S (*ἀποστεῖλαι* l) 938 *ἀπαροῦμεν* Elmsley 939 *παῖδας* Brunck] *παῖδες* 941 *π. τί χρή;* Kirchhoff 942 *νιν — κόρην* ego] *σὴν — πατρός*, cf. 1154; *σὴν κέλευε συνδεῖσθαι πατρὸς* Wecklein, *σὺ δ' ἀλλ' ἄνασσ*

[γυναῖκα παῖδας τήνδε μὴ φεύγειν χθόνα.]
Ι. *μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγώ.*
Η. *εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.*
συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου·
πέμψω γὰρ αὐτῇ δῶρ' ἃ καλλιστεύεται
τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγώ, πολὺ
[λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον]
παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν
κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
εὐδαιμονήσει δ' οὐχ ἕν, ἀλλὰ μυρία,
ἀνδρός τ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου
κεκτημένη τε κόσμον ὅν ποθ' Ἥλιος
πατρὸς πατὴρ δίδωσιν ἐκγόνοις γέρας.
λάζυσθε φερνὰς τάσδε, παῖδες, ἐς χέρας
καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.
Α. *τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;*
δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων,
δοκεῖς δὲ χρυσοῦ; σῷζε, μὴ δίδου τάδε.
εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
γυνή, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.
Η. *μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος·*

εῦσον *αἰτεῖσθαι τοκεῖς* Stadtmüller, *δάμαρτα σὴν κέλευσον αἰτεῖσθαι πάρος* inz 943 damn. et Prinz et ego, verba *τήνδε μὴ φεύγειν χθόνα* propter 5, 940, 971 Brunck, qui *σῆς ἀφιέναι φυγῆς* (cf. 1155), *τήνδ' ἔτ' οἰκήσειν* ·*όνα* Rauchenstein 945 Medeae et Prinz et ego reddidimus propter schol.: *τερ φίλανδρός ἐστι, πάντα σοι πεισθήσεται ἡ Γλαύκη*, Jasonis est in libris *ἄλλων*] *πολλῶν* Nauck 949 eiecit Bothe, cf. 786 *πλόκον*] *στέφος* *καὶ πλόκον* om. E, *καὶ στέφος* (ut 786) in marg. add. m. alia 953 *τ'*] om. ι, *γ'* S *συντυχοῦσ'* Wecklein 955 *πατὴρ πατρὸς* S *ἐκγόνοις γέρας* adtmüller coll. Hipp. 45, Heracl. 297, Troad. 253, Bacch. 878] *ἐκγόνοισιν* · (*οἶσι* B); *ἐκγόνοις γάνος*? 956 *χέρα* B (*ς* add. b) Ca 957 *τυράννων* a 958 *λέξεται* F. W. Schmidt 960 *βασιλείων* Pb, *βασιλικὸν* Wunder, l *cf. Bacch. 60, Iph. A.* 863, Or. 1366, Hel. 70, 144, 459, 1526 963 *ἐγώ*] *L* 964 *λόγος*] *ἔπος* vel *φάτις* Sybel

χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.
κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός,
νέα τυραννεῖ· τῶν δ᾿ ἐμῶν παίδων φυγὰς
ψυχῆς ἂν ἀλλαξαίμεθ᾿, οὐ χρυσοῦ μόνον.
ἀλλ᾿, ὦ τέκν᾿, εἰσελθόντε πλουσίους δόμους
πατρὸς νέαν γυναῖκα, δεσπότιν δ᾿ ἐμήν,
ἱκετεύετ᾿, ἐξαιτεῖσθε μὴ φεύγειν χθόνα,
κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,
ἐς χεῖρ᾿ ἐκείνην δῶρα δέξασθαι τάδε.
ἴθ᾿ ὡς τάχιστα· μητρὶ δ᾿ ὧν ἐρᾷ τυχεῖν
εὐάγγελοι γένοισθε πράξαντες καλῶς.

ΣΤΑΣΙΜΟΝ Δ.

ΧΟ. *νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζόας,* *στρ.*
οὐκέτι· στείχουσι γὰρ ἐς φόνον ἤδη.
δέξεται νύμφα χρυσέων ἀναδεσμᾶν
δέξεται δύστανος ἄταν·
ξανθᾷ δ᾿ ἀμφὶ κόμᾳ θήσει τὸν Ἅιδα
κόσμον αὐτὰ χεροῖν λαβοῦσα.

πείσει χάρις ἀμβρόσιός τ᾿ αὐγὰ πέπλον *ἀντιστρ.*

---

966 '*κείνης-τυραννεῖ* corrupta' Prinz, *κεῖνα-τυραννεῖ* secl. Nauck *ἄξει* E 969 *πλησίους* S (*πλουσίους* l) 970 *δ᾿* Elmsley] *τ᾿* 971 *φυ* S 972 *φέροντες* L 973 *ἐκείνης* Sb, *ἐκείνη* (- *δέξεται*) C 976 Porson] *ζωᾶς* (*ζωῆς* C) 978 *ἀναδεσμᾶν* Elmsley] *ἀναδέσμων. ἀναδεσ* Porson 979 *δύστανος* C] *ἁ δύστανος* S, *δύστηνος* BEa 980 *Ἅ* Brunck] *ἀΐδα* 981 *αὐτὰ* Sb[s]] *αὐτὴ* BCE, om. a, *αὐτὰ ταῖν* Musurus (vu *αὐτά γ᾿ ἐν* Porson *χερ* * C i. e. *χερί*, quod haud scio an verum sit et ad *λαβοῦσα* metri causa in *χεροῖν* mutatum *λαβοῦσα* del. Nauck 983 *τ᾿* BCa, add. b *αὐγὰ*] *αὐτὰν* C *πέπλον* Elmsley (*πέπλους* Reiske)] *πέπ* BCEaL, *πέπλου* Pb[s]; *πέπλων* | *χρυσότευκτός τε στέφανος* Hermann, *πέπ* *χρυσοτεύκτου τε στεφάνου* Klotz, *πέπλων* | *χρυσοτεύκτων τε στεφανᾶν* We

χρυσότευκτόν τε στέφανον περιθέσθαι·
νερτέροις δ' ἤδη πάρα νυμφοκομήσει.
τοῖον εἰς ἕρκος πεσεῖται
καὶ μοῖραν θανάτου δύστανος· ἄταν δ'
οὐχ ὑπερφεύξεται ⏑ – ⏓ .

σὺ δ', ὦ τάλαν, ὦ κακόνυμφε — στρ.
κηδεμὼν τυράννων,
παισὶν οὐ κατειδὼς
ὄλεθρον βιοτᾷ προσάγεις, ἀλόχῳ
τε σᾷ στυγερὸν θάνατον.
δύστανε, μοίρας ὅσον παροίχει.

μεταστένομαι δὲ σὸν ἄλγος, — ἀντιστρ.
ὦ τάλαινα παίδων
μᾶτερ, ἃ φονεύσεις
τέκνα νυμφιδίων ἕνεκεν λεχέων,
ἅ σοι προλιπὼν ἀνόμως
ἄλλᾳ ξυνοικεῖ πόσις συνεύνῳ.

---

984 *χρυσότευκτον* C (Elmsley)] *χρυσεότευκτον* cet. *τε*, om. in libris, 1. Reiske 985 *δ'* om. BE *πάρα νυμφοκομήσει* Ald.] *παραννυμφοκοσει* BCEP, *πάρα νυμφοκοσμήσει* Lb schol., *παραννυμφοκοσμήσει* E[1] (*γρ. ρὶς τοῦ σ̄* superscr.), a; *πάρα νυμφοκοσμῆσαι* Lehrs 987 *προσλήψεται* post *νάτου* add. m. rec. in B *ἄταν*] *Ἀιδαν* Nauck, *ἀκτὰν* Mekler 988 *ὑπεκύξεται* L (Elmsley), *ὑπεκδραμεῖται* (servato *προσλήψεται*) Porson. Lacunam licavit Schoene, *ταχεῖα* add. Weil, *τάλαινα* Bauer, *πάναγρον* Wecklein, *ιτεινάν* Mekler 993 *ὄλεθρον* L] *ὀλέθριον* cet. *βιοτᾷ* ab[s] schol.] *βιο-ν* a[2] cet. 994 *στυγερᾷ στυγερὸν* E 995 *δύστανε μοίρας, ὅσον π.* rmann 996 *μέγα στένομαι* Herwerden 998 *φονεύεις* B 999 *τέκεα* 993 *ὀλέθριον*) Hermann 1001 *ἄλλᾳ* Matthiae] *ἄλλῃ*

ΕΞΟΔΟΣ.

ΠΑΙ. δέσποιν᾽, ἀφεῖνται παῖδες οἵδε σοι φυγῆς,
καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
ἐδέξατ᾽· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις. —
ἔα.
τί συγχυθεῖσ᾽ ἕστηκας ἡνίκ᾽ εὐτυχεῖς;
[τί σὴν ἔστρεψας ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ᾽ ἐξ ἐμοῦ δέχει λόγον;]
ΜΗ. αἰαῖ.
ΠΑΙ. τάδ᾽ οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.
ΜΗ. αἰαῖ μάλ᾽ αὖθις. ΠΑΙ. μῶν τιν᾽ ἀγγέλλων τύχην
οὐκ οἶδα, δόξης δ᾽ ἐσφάλην εὐαγγέλου;
ΜΗ. ἤγγειλας οἷ᾽ ἤγγειλας· οὐ σὲ μέμφομαι.
ΠΑΙ. τί δαὶ κατηφεῖς ὄμμα καὶ δακρυρροεῖς;
ΜΗ. πολλή μ᾽ ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ
κἀγὼ κακῶς φρονοῦσ᾽ ἐμηχανησάμην.
ΠΑΙ. θάρσει· κάτει τοι καὶ σὺ πρὸς τέκνων ἔτι.
ΜΗ. ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν᾽ ἐγώ.
ΠΑΙ. οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων·
κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
ΜΗ. δράσω τάδ᾽· ἀλλὰ βαῖνε δωμάτων ἔσω
καὶ παισὶ πόρσυν᾽ οἷα χρὴ καθ᾽ ἡμέραν.

1002 *παιδγ.* praefix. in BCS] *πρε.* in cet. Eadem varietas est in vv. proximis *σοι* Wecklein] *σοὶ* 1004 *τέκνοις*] *δόμοις* C, quod fort. verum, cf. 77 1005 *ἔα* paedagogi est in C, cui ex coniectura restituit Kirchhoff, Medeae in cet. 1006-1007 eiecit Valckenaer; alter ex 1148, alter ex 924 repetitus *ἔτρεψας* Ca 1008 *αἶ αἶ* Pa, *αἲ αἲ* L, *αἶ αἶ αἶ αἶ* BC, *αἶ αἶ αἶ* E 1012 *δαὶ* EaL] *δὲ* BCP, *δὴ* p (sic vulg.), *δ᾽ αὖ* Chr. pat. 731 *κατηφὴς* Cobet 1013 *πολλή γ᾽* Valckenaer, sed cf. Phoen. 1674; *ἀνάγκη πολλή μοι ὀδύρεσθαι* schol. *τοῖα γὰρ* Weil 1015 *κάτει* Porson] *κρατ * ** B, *κρατεῖς* B[1] cet. *πρὸς τὰ (σὰ?) τέκν᾽ ἔτι* Kvičala (εὔελπις εἶ τούτοις πρὸς τὸ *μέλλον συμβιῶναι* schol.) 1017 *τῶνδ᾽* CE 1018 *δεῖ* E

ὦ τέκνα τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
καὶ δῶμ᾽, ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ
οἰκήσετ᾽ ἀεὶ μητρὸς ἐστερημένοι·
ἐγὼ δ᾽ ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγάς,
πρὶν σφῷν ὄνασθαι κἀπιδεῖν εὐδαίμονας,
πρὶν λέκτρ᾽ [α καὶ γυναῖκα καὶ γαμηλίους
  εὐνὰς] ἀγῆλαι λαμπάδας τ᾽ ἀνασχεθεῖν.
ὦ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας.
ἄλλως ἄρ᾽ ὑμᾶς, ὦ τέκν᾽, ἐξεθρεψάμην,
ἄλλως δ᾽ ἐμόχθουν καὶ κατεξάνθην πόνοις,
  στερρὰς ἐνεγκοῦσ᾽ ἐν τόκοις ἀλγηδόνας.
ἦ μήν ποθ᾽ ἡ δύστηνος εἶχον ἐλπίδας
πολλὰς ἐν ὑμῖν γηροβοσκήσειν τ᾽ ἐμὲ
καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
ζηλωτὸν ἀνθρώποισι· νῦν δ᾽ ὄλωλε δὴ
γλυκεῖα φροντίς. σφῷν γὰρ ἐστερημένη
  λυπρὸν διάξω βίοτον ἀλγεινόν τ᾽ ἐμοί.
ὑμεῖς δὲ μητέρ᾽ οὐκέτ᾽ ὄμμασιν φίλοις
  ὄψεσθ᾽, ἐς ἄλλο σχῆμ᾽ ἀποστάντες βίου.
φεῦ φεῦ· τί προσδέρκεσθέ μ᾽ ὄμμασιν, τέκνα;
  τί προσγελᾶτε τὸν πανύστατον γέλων;
αἰαῖ· τί δράσω; καρδία γὰρ οἴχεται,
γυναῖκες, ὄμμα τερπνὸν ὡς εἶδον τέκνων.
  οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα.
[τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.]
τί δεῖ με πατέρα τῶνδε φιλτάτων κακοῖς

1021 ἔστιν ἡ E   1026 λέκτρ᾽ ἀγῆλαι deletis verbis καὶ - εὐνὰς (glossae sunt) ›the, λουτρὰ pro λέκτρα Burges (Stadtmüller coll. Phoen. 348, Iph. T. 818) '27 ἀνασχεθεῖν BE] ἀνασχέθειν b et cet.   1030 del. Hartung ut repet. Troad. 760   1036 ἐλπὶς γλυκεῖα Nauck   γλ. φρ. σφῷν ἀπεστερημένη t ὄλωλ᾽ ἐμοί?) Kvičala   1037 del. Kvičala   ἐμοί] ἀεί (διάξω λυπρὸν ; μακρὸν βίον Chr. pat. 785) vel ἐγώ F. W. Schmidt   1040 τέκνα CSa] λοις 1[s] et cet., ex 1038   1043 τερπνὸν Ca, λύομαι ταῖς τῶν ὀφθαλμῶν ῥισιν schol.] φαιδρὸν cet.   1045 del. Kvičala; videtur ei versum non isse schol., qui λείπει τὸ σφάξαι τὰ τέκνα   1046 φιλτάτων Kvičala:

λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
οὐ δῆτ᾽ ἔγωγε. χαιρέτω βουλεύματα. —
καίτοι τί πάσχω; βούλομαι γέλωτ᾽ ὀφλεῖν
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
τολμητέον τάδ᾽. ἀλλὰ τῆς ἐμῆς κάκης,
τὸ καὶ προσέσθαι μαλθακοὺς λόγους φρενί.
χωρεῖτε παῖδες ἐς δόμους· ὅτῳ δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
αὐτῷ μελήσει· χεῖρα δ᾽ οὐ διαφθερῶ. —
ἆ ἆ.
μὴ δῆτα, θυμέ, μὴ σύ γ᾽ ἐργάσῃ τάδε·
ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
καὶ μὴ μεθ᾽ ἡμῶν ζῶντες εὐφρανοῦσί με. . .
μὰ τοὺς παρ᾽ Ἅιδῃ νερτέρους ἀλάστορας,
οὔτοι ποτ᾽ ἔσται τοῦθ᾽ ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
[πάντως σφ᾽ ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν οἵπερ ἐξεφύσαμεν.]
καὶ δὴ ᾽πὶ κρατὶ στέφανος, ἐν πέπλοισι δὲ
νύμφη τύραννος ὄλλυται, σάφ᾽ οἶδ᾽ ἐγώ.
πάντως πέπρακται ταῦτα κοὐκ ἐκφεύξεται.

εὐηθές ἐστιν ἐργαζομένην με τὸν θάνατον τοῖς φιλτάτοις κτλ. schol.] *τοῖς τούτων*, quae verba videntur supra *κτᾶσθαι* 1047 scripta fuisse   1048 *γρ. δὲ καὶ παύομαι βουλευμάτων* schol. in a, *χ. τολμήματα* Wecklein, del. vers. Kvičala

1049 *ὀφλεῖν* Elmsley] *ὄφλειν*, cf. 404   1052 *προσέσθαι* Badham] *προέσθαι φρενί* S, *τὸ ἐνδοῦναι τῇ φρενὶ μαλθακοὺς λόγους* schol.] *φρενός* l et cet., *προέσθαι μαλθακῆς λόγους φρενός* Weil, *πρ. τούσδε μ. λ.* Dindorf
1054 *θύμασιν* S, *ᾧ τινι - οὐκ εὐσεβὲς φαίνεται παρεῖναι τῷ φόνῳ τούτῳ καὶ δέχεσθαι τοιαύτας θυσίας* schol.] *δώμασιν* l et cet.   1056 *μὴ σύ γ᾽* S] *μήποτ᾽* cet., *μὴ σύ μ᾽* Verrall, *θυμὲ θυμέ, μὴ ἐργάσῃ τάδε* Nauck   *τάδε* CSab^{s}] *τόδε* cet.   1058 *καὶ μὴ* ego] *ἐκεῖ* (glossa). *κεἰ μὴ* Hermann, *ἢ καὶ* (Weil) *μετ᾽ ἐχθρῶν* Vitelli, *δίχ᾽ ἡμῶν* Rauchenstein. Delet hunc v. Kvičala, post 1045 ponit Hartung   *με* B] *σε* cet.   1059 *ᾅδῃ* BCa] *ᾅδην* b^{s} et cet.
1062-1063 del. Pierson, cf. 1240-1241   1064 post 1066 posuit Kvičala *πέπρωται* $L b^{s}$ *1065* *δὲ*] *τε* S

ἀλλ᾽, εἶμι γὰρ δὴ τλημονεστάτην ὁδόν,
[καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι]
παῖδας προσειπεῖν βούλομαι. δότ᾽, ὦ τέκνα,
δότ᾽ ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
ὦ φιλτάτη χείρ, φίλτατον δέ μοι κάρα
καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,
εὐδαιμονοῖτον, ἀλλ᾽ ἐκεῖ· τὰ δ᾽ ἐνθάδε
πατὴρ ἀφείλετ᾽· ὦ γλυκεῖα προσβολή,
ὦ μαλθακὸς χρὼς πνεῦμά θ᾽ ἥδιστον τέκνων.
χωρεῖτε χωρεῖτ᾽· οὐκέτ᾽ εἰμὶ προσβλέπειν
εὔψυχος ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
καὶ μανθάνω μὲν οἷα τολμήσω κακά·
θυμὸς δὲ κρείσσων τῶν καλῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

). *πολλάκις ἤδη διὰ λεπτοτέρων*
μύθων ἔμολον καὶ πρὸς ἁμίλλας
ἦλθον μείζους
ἢ χρὴ γενεὰν θῆλυν ἐρευνᾶν·
ἀλλὰ γὰρ ἔστιν μοῦσα καὶ ἡμῖν,
ἣ προσομιλεῖ σοφίας ἕνεκεν·
πάσαισι μὲν οὔ, παῦρον δὲ γένος,

1067 *νῦν τληπαθεστάτην* Etym. M. cod. Flor. 1068 secl. Pierson 1071 *κάρα*] *στόμα* S, Chr. pat. 1322 1073 *εὐδαιμονοίτην* Elmsley *τὸ δ᾽* (*εὐδαιμονεῖν*) Herwerden 1076 *οὐ γάρ εἰμι π.* | *οἷα τ᾽ ἔθ᾽ ὑμᾶς* uck, *οὐκέτ᾽ εἰμὶ γὰρ βλέπειν* | *οἷα τ᾽ ἐς ὑμᾶς* Kvičala 1077 *εὔψυχος* *ᾶς* Stadtmüller, cf. 403] *οἷά* (*οἷα* b) *τε* * * * * * * B, *οἷα* (*οἷά* BC) *τε* *ὸς ὑμᾶς* B^{1}CEa^2, *οἷά τε προσμᾶς* a (*οἷα* a^2), *οἷα τ᾽ ἐς ὑμᾶς* S, *οἷα πρὸς* *τὸν*) Chr. pat. 875, 1611; *οἷα τε παῖδας* Prinz et Wecklein, *ἄνοικτος ὑμᾶς* .dtmüller (cui quod et ipse proposuit *εὔψυχος* vel *εὔτολμος* minus placet), l. Troad. 787, frg. 120 *κακοῖς*] *πόνοις* Chr. pat. 595, 875 1078 *τολ-σω*] *δρᾶν μέλλω* L et multi scriptores, qui hunc v. laudaverunt, *δρασείω* kler 1079 *τῶν καλῶν* (vel *σωφρόνων*) Stadtmüller] *τῶν ἐμῶν* 1080 susp.). Sauppe 1084 *ἢ* (supra scripto *ει*) E] *ἣ* C, *εἰ* cet. et schol. 1087 *δὲ* *ske*] *δὲ δὴ* BCEa, *δέ τι* b^{s}S (*δὴ* l), *δ᾽ εἶδος* Leo

(μίαν ἐν πολλαῖς εὕροις ἂν ἴσως)·
οὐκ ἀπόμουσον τὸ γυναικῶν.
καί φημι βροτῶν οἵτινές εἰσιν
πάμπαν ἄπειροι μηδ᾽ ἐφύτευσαν
παῖδας, προφέρειν εἰς εὐτυχίαν
τῶν γειναμένων.
οἱ γὰρ ἄτεκνοι δι᾽ ἀπειροσύνην
εἴθ᾽ ἡδὺ βροτοῖς εἴτ᾽ ἀνιαρὸν
παῖδες τελέθουσ᾽ οὐχὶ τυχόντες
πολλῶν μόχθων ἀπέχονται·
οἷσι δὲ τέκνων ἔστιν ἐν οἴκοις
γλυκερὸν βλάστημ᾽, ἐσορῶ μελέτῃ
κατατρυχομένους τὸν ἅπαντα χρόνον,
πρῶτον μὲν ὅπως θρέψουσι καλῶς
βίοτόν θ᾽ ὁπόθεν λείψουσι τέκνοις·
ἔτι δ᾽ ἐκ τούτων εἴτ᾽ ἐπὶ φλαύροις
εἴτ᾽ ἐπὶ χρηστοῖς
μοχθοῦσι, τόδ᾽ ἐστὶν ἄδηλον.
[ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
πᾶσιν κατερῶ θνητοῖσι κακῶν·]
καὶ δὴ μὲν ἅλις βιοτὴν ηὗρον,
σῶμά τ᾽ ἐς ἥβην ἤλυθε τέκνων
χρηστοί τ᾽ ἐγένοντ᾽· ἢν δὲ κυρήσῃ

1088 *μίαν* inseruit Elmsley coll. Heracl. 327 1089 *οὐκ* (Reiske) schol.: *μέχρι δὲ τοῦ οὐκ ἀπόμουσον τὸ γυναικῶν ἐν μεσοσυλλαβίᾳ ἐστὶν ὁ λόγος*] *κοὐκ*. Vulgo: *παῦρον δὲ γένος - οὐκ ἀπόμουσον* 1090 *φημ᾽ ἀρότων* Mekler
1094 *οἱ γὰρ* ego, *ὅσοι μὲν γὰρ κτλ.* schol.] *οἱ μέν τ᾽* (*τ᾽* in ras. l). *μέν γ᾽* Reiske ('rarissimum apud tragicos' Porson), *ὡς οἵ γ᾽* Hartung 1096 *μαθόντες* a^{2s} 1099 *ἐσορῶ* Sb^{s}] *ὁρῶ* cet. (*ἐστὶ* C ex 1098) schol.; *ἀθρῶ* Nauck, *εἶδον* Weil 1101 *ὅπως ἂν* S (*ἂν* del. l) *θρέψουσι* Brunck] *θρέψωσι* libri et schol. (*ἀγάγωσι*) 1103 *φαύλοις* El 1105-1106 post Hartungium ego seclusi, 1106 Kvičala 1106 *κακῶν* BEa^{2}, schol.] *κακὸν* $CE^{s}Sa$
1107 *μὲν* Hartung] *γὰρ* *βιοτὴν* Lenting] *βίοτον* BEaP, *βιοτόν θ᾽* Lb, *βίον* schol. 1108 *ἦλθε* S (*ἤλυθε* l) 1109 *ἢν δὲ κυρήσῃ* ego 'si ea fortuna (cf. 966) evenerit'] *κυρήσει* S (L, *κυρήσει τύχη συμβαίη* P), *κυρήσαι* b'\

δαίμων οὗτος, φροῦδος ἐς Ἅιδην
Θάνατος προφέρων σώματα τέκνων.
πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
τήνδ' ἔτι λύπην ἀνιαροτάτην
παίδων ἕνεκεν
  θνητοῖσι θεοὺς ἐπιβάλλειν;

Η. φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην
καραδοκῶ τἀκεῖθεν ᾗ 'ποβήσεται.
καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος
στείχοντ' ὀπαδῶν· πνεῦμα δ' ἠρεθισμένον
δείκνυσιν ὥς τι καινὸν ἀγγελεῖ κακόν.
ΓΓ. ὦ δεινὸν ἔργον παρανόμως τ' εἰργασμένον. —
Μήδεια, φεῦγε φεῦγε, μήτε ναΐαν
λιποῦσ' ἀπήνην μήτ' ὄχον πεδοστιβῆ.
Η.   τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;
ΓΓ. ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη
  Κρέων θ' ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.
Η. κάλλιστον εἶπας μῦθον, ἐν δ' εὐεργέταις

---

ol. (*εἰ δὲ δὴ τούτων οὕτως ἐχόντων φθάσας ὁ δαίμων - τούτους ἁρπάσειε*), *ῆσαι* CEa, *κυρήσας* B; *εἰ κυρώσει δ. οὕτως* Vitelli 1110 *οὗτος* BCEa *οὕτως* b[s] schol., *οὕτω* L, *ὀλοὸς* Prinz 1111 del. Wecklein 1113 *ἔτι* b[s] schol.] *ἐπὶ* cet. *ἀνιαροτάτην παίδων ἕνεκεν* secl. Wecklein 1114 *πῶς λυσιτελεῖ πρὸς τοῖς ἄλλοις τῶν ἀνθρώπων κακοῖς τοὺς παῖδας εὔξασθαι* ; *θεοῖς παρασχεῖν λύπην ἀντικρούοντας* schol., qui videtur legisse *αἰτεῖν ἕνεκεν* (glossa super *παίδων* scripta?) 1116 *τοι*] *δὴ* a 1117 *τὰ θεν* a *ᾗ* C] *οἷ* *'ποβήσεται* Cobet, *τὴν ἀπόβασιν τοῦ πράγματος* schol.] *βήσεται* (*'προβ.* a) 1118 *καίτοι* S Chr. pat. 124 *τῶν* ab[s] Chr. pat.] *τὸν* cet. 1119 *ὀπαδῶν* b[s] Chr. pat. 125] *ὀπαδὸν* cet. *πνεῦμα δ'* ma schol. (Hermann)] *πνεῦμα τ'* (*πνεύματ'* C) Chr. pat. 125 1120 *δεί-σιν* CEa] *δείκνυσι δ'* cet. *κακόν*] *παρών* Chr. pat. 127. *τόδε? ἀγγε-ντ' ἔπος* Nauck, *ὥς τοι κ. ἀγγελεῖ λόγον* Wecklein 1121 *ἀγγ.* S] *θερά-* cet. (ex 1119), etiam 1125. 1129. 1136; om. v. Ca, damn. Lenting *παρανόμως τ'* Ba] *παρανόμως* cet., *παράνομόν τ'* Dindorf ex Pal. 98 *ασμένον* B] *εἰργασμένη* b et cet. 1123 λιποῦσ' vix sanum; λιποῦσ' *ἄλα, αἰτοῦσ'* Jortin 1126 *θ'*] *δ'* B

	τὸ λοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσει.
ΑΓΓ.	τί φής; φρονεῖς μὲν ὀρθὰ κοὐ μαίνει, γύναι,
	ἥτις τυράννων ἑστίαν ᾐκισμένην
	χαίρεις κλύουσα κοὐ φοβεῖ τὰ τοιάδε;
ΜΗ.	ἔχω τι κἀγὼ τοῖσι σοῖς ἐναντίον
	λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος,
	λέξον δ' ὅπως ὤλοντο· δὶς τόσον γὰρ ἂν
	τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.
ΑΓΓ.	ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
	[σὺν πατρὶ καὶ παρῆλθε] νυμφικοὺς δόμους,
	ἥσθημεν οἵπερ σοῖς ἐκάμνομεν κακοῖς
	δμῶες· δι' οἴκων δ' εὐθὺς ἦν πολὺς λόγος
	σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
	κυνεῖ δ' ὁ μέν τις χεῖρ', ὁ δὲ ξανθὸν κάρα
	παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο
	στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
	δέσποινα δ' ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
	πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
	πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
	ἔπειτα μέντοι προυκαλύψατ' ὄμματα
	λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηίδα,
	παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
	ὀργάς ἀφῄρει καὶ χόλον νεάνιδος

1129 ἐς ὀρθὰ Wecklein coll. Soph. frg. 551 1130 τύραννον b• ἑστίαν S] οἰκίαν cet. ᾐκισμένη CE (ην superscr.) S. ἀκούσασα τὸν βασιλικὸν οἶκον διεφθάρθαι schol. 1132 τοῖσι C| τοῖς γε cet., τοῖσδε Lascaris

1134 δὲ πῶς S 1137 [σὺν - παρῆλθε] in susp. voc. Stadtmüller, qui ἐν χερσὶ δῶρ' ἔχοντε (cf. 784) vel σὰ δῶρα προσφέροντε (cur non ἔχουσα, προσφέρουσα?) propter schol. 1: ὡς εἴδομεν τοὺς σοὺς παῖδας τὰ δῶρα προσφέροντας, ἐχάρημεν et 2: ὡς εἴδομεν τὰ δῶρα κομιζόμενα παρὰ σοῦ, εὐφράνθημεν (patris nulla mentio), aut σὺν πατρὶ δῶρ' ἔχοντε 1139 δι' οἴκων Weil, πολὺς ἦν λόγος κατὰ τὴν οἰκίαν schol.] δι' ὤτων εὐθὺς ἡμῶν ἦν λόγος C

1141 κυνεῖ Brunck] κύνει 1150 ὀργάς τ' S; μὴ ὀργίζεσθαι - παρῄνει μηδὲ βδελύττεσθαι schol. (non μήτε - μήτε) χόλον νεάνιδος CSa] νεάνιδος χόλον cet.

λέγων τάδ᾽· οὐ μὴ δυσμενὴς ἔσει φίλοις,
παύσει δὲ θυμοῦ καὶ πάλιν στρέψεις κάρα,
φίλους νομίζουσ᾽ οὕσπερ ἂν πόσις σέθεν,
δέξει δὲ δῶρα καὶ παραιτήσει πατρὸς
φυγὰς ἀφεῖναι παισὶ τοῖσδ᾽ ἐμὴν χάριν;
ἣ δ᾽ ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
ἀλλ᾽ ᾔνεσ᾽ ἀνδρὶ πάντα· καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ τέκν᾽, ἀσμένη
λαβοῦσα πέπλους ποικίλους ἠμπίσχετο,
χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις
λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
κἄπειτ᾽ ἀναστᾶσ᾽ ἐκ θρόνων διέρχεται
στέγας, ἁβρὸν κινοῦσα πάλλευκον πόδα,
δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
τένοντ᾽ ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ᾽ ἰδεῖν·
χροιὰν γὰρ ἀλλάξασα λεχρία πάλιν
χωρεῖ τρέμουσα κῶλα καὶ μόλις φθάνει
θρόνοισιν ἐμπεσοῦσα μὴ χαμαὶ πεσεῖν.
καί τις γεραιὰ προσπόλων δόξασά που
ἢ Πανὸς ὀργὰς ἤ τινος θεῶν μολεῖν
ἀνωλόλυξε, πρίν γ᾽ ὁρᾷ κατὰ στόμα

1156 ὡς S] ὥς τ᾽ E, ὥστ᾽ cet. 1158 τέκν᾽, ἀσμένη Stadtmüller, cf. 1003; chol. 1: οὕτω δὲ περιχαρὴς γέγονε τὸν κόσμον ἰδοῦσα -, ὡς μὴ ἀναμεῖναι ἡν ἀπουσίαν τοῦ Ἰάσονος, schol. 2: ὑπερησθεῖσα τῷ δώρῳ etc., Hesych. σμένως· — περιχαρῶς] τέκνα σέθεν BE, παῖδας σέθεν cet., (σέθεν om. L, dd. l); 'mirari subit Euripidem non potius πατέρα σὺν τέκνοις σέθεν, τέκνα αὶ πόσιν σέθεν vel tale quid dedisse' Elmsley, πατέρα καὶ τέκν᾽, αὐτόθεν εὐθὺς λαβοῦσα schol.) Weil, πατέρα παῖδέ τ᾽ εὐθέως Kvičala 1159 ἠμπίσχετο C (Elmsley)] ἠμπέσχετο cet. 1161 δέμας B (κόμην b) 1162 εἰκὼ a p] εἰκῶ a² et cet. γρ. προσβλέπουσα schol. 1164 κινοῦσα πάλλευκον όδα C] βαίνουσα παλλεύκῳ ποδὶ cet. (interpretatio ex 830 petita) 1167 τοὐνεῦθεν μέν τοι E δεινὸν] φρικτὸν Chr. pat. 1209 1169 τρέχουσα S 173 ὁρᾶι a, ὁρᾶν a² (ἕως ἐθεάσατο schol.) κατὰ S, schol.] διὰ cet.

χωροῦντα λευκὸν ἀφρὸν ὀμμάτων τ᾽ ἀπὸ
  κόρας στρέφουσαν αἷμά τ᾽ οὐκ ἐνὸν χροΐ.
εἶτ᾽ ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
κωκυτόν. εὐθὺς δ᾽ ἡ μὲν ἐς πατρὸς δόμους
ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
φράσουσα νύμφης συμφοράς· ἅπασα δὲ
στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
ἤδη δ᾽ ἀμείβων κῶλον ἔκπλεθρον δρόμου
ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετο,
ἡ δ᾽ ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
  δεινὸν στενάξασ᾽ ἡ τάλαιν᾽ ἠγείρετο.
διπλοῦν γὰρ αὐτῇ πῆμ᾽ ἐπεστρατεύετο·
χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος
θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός,
πέπλοι δὲ λεπτοί, σῶν τέκνων δωρήματα,
λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
φεύγει δ᾽ ἀναστᾶσ᾽ ἐκ δόμων πυρουμένη,
σείουσα χαίτην κρᾶτά τ᾽ ἄλλοτ᾽ ἄλλοσε,
ῥῖψαι θέλουσα στέφανον· ἀλλ᾽ ἀραρότως

1174 τ᾽ S, schol.] δ᾽ cet. ἀπὸ Heath (ἐκστρέφουσάν τε τοὺς ὀφθαλμοὺς schol.)] ἄπο. ὑπὸ Wecklein, ἄνω Reiske (Weil), ἅμα, ἄφαρ, ἄφνω Kvičala, ἀεὶ Prinz 1179 συμφοράν S (τὸ συμβάν schol.) 1180 δραμήμασι Cobet, ut Or. 1005 A 1181 et 1182 damn. Dindorf ἀμείβων Stadtmüller, qui κῶλον interpretatur dimidiam partem διαύλου, ut Aesch. Ag. 344 (plerique crus cursoris), coll. Bacch. 65, Phoen. 131, 1179] ἀνέλκων (ἀνακουφίζων τὸν πόδα schol.). ἂν ἕλκων Schaefer, ἀνεικὼς Musgrave, ἀνακλῶν Verrall, ἑλίσσων Herwerden, ἀνελθὼν Lenting, ἀνειλῶν Weil ἔκπλεθρον L] ἔκπλεθρον cet. (ὑπέρμετρον schol.), ἐκπλέθρου Reiske 1182 ἀνθήπτετο] ἂν ἥπτετο Musgrave, ἀνθήπτετ᾽ ἂν Brunck (ἂν deest in v. simili El. 825); ἤδη τρέχων μὲν κ. ἔκπλεθρον δρ. | τ. δρομεὺς ἂν τ. ἐφήπτετο Rauchenstein 1183 σώματος E, ὄμματα Chr. pat. 906, 1332 VB 1184 ἀπώλλυτο S (γρ. ἠγείρετο l), cf. 277 1188 δὲ S] τε cet. 1189 λευκὴν Ca] λεπτὴν cet. 1190 ἀνάξασ᾽ Wecklein coll. Iph. T. 315, ἀναπτᾶσ᾽ Mekler δόμων E, cf. 1195] θρόνων cet. propter 1163 et 1170 1192 ῥῖψαι Schaefer] ῥίψαι

σύνδεσμα χρυσοῦν εἶχε, πῦρ δ', ἐπεὶ κόμην
ἔσειε μᾶλλον, δὶς τόσως ἐλάμπετο.
πίτνει δ' ἐπ' οὖδας συμφορᾷ νικωμένη,
πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν·
οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις
οὔτ' εὐφυὲς πρόσωπον, αἷμα δ' ἐξ ἄκρου
ἔσταζε κρατὸς συμπεφυρμένον πυρί,
σάρκες δ' ἀπ' ὀστέων ὥστε πεύκινον δάκρυ
γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον,
δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θιγεῖν
νεκροῦ· τύχην γὰρ εἴχομεν διδάσκαλον.
πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ
ἄφνω προσελθὼν δῶμα προσπίτνει νεκρῷ·
ᾤμωξε δ' εὐθύς, καὶ περιπτύξας δέμας
κυνεῖ προσαυδῶν τοιάδ'· ὦ δύστηνε παῖ,
τίς σ' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσε;
τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον.
ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας

1193 *χρυσοῦν* Herwerden] *χρυσὸς* (ortum ex falsa interpretatione v. *σύνδεσμα· συμπλοκὰς, συνδέσεις* schol.) 1194 *ἔσειε μᾶλλον, δὶς* Wecklein (*ἔσεισε μᾶλλον, δὶς* Weil)] *ἔσεισε, μᾶλλον δὶς* vulgo. *μαλακὴν* Prinz, *κόμης - μαλλὸν* Kvičala *τόσως* S (L, *τόσων* P, *τόσον* p)] *τόσως τ'* E, *τοσῶς τ'* B a, *τοσῶς δ'* C, *τόσον τ'* b[s]a[2] *ἔλαμπ' ἔτι* Mekler, *ἐθάλπετο* Nauck, *ἐδαίετο* F. W. Schmidt 1195 *πίτνει* Elmsley] *πιτνεῖ* B E a, *πίπτει* S Chr. pat. 1089, 1431 *ἐπ'* S Chr. pat. 1089, 2102] *ἐς* 1196 *δυσπετὴς μαθεῖν* Nauck coll. Soph. Ai. 1046 1201 *γναθμοῖς ἀδήλων φαρμάκων* L (corr. l), *γναθ * * ἀδήλ * * φαρμάκ * ** P, *γναθμῶν ἀδήλοις φαρμάκοις* p et schol., qui *σάρκες γναθμῶν* ('maxillarum') falso interpr. 1202 *δεινὸν*] *φρικτὸν* Chr. pat. 1105, 1220, quod genuinum esse susp. Stadtmüller 1205 *παρελθὼν* Nauck] *προσελθὼν* *σῶμα - νεκροῦ* Stadtmüller 1206 *δέμας*] *χέρας* S 1207 *κυνεῖ* B] *κύνει* cet. *παῖ*] *σὺ* B, *γρ. παῖ* b[s] 1208 *τίς σ'* Lab] *τις δ'* E, *τίς* cet.
1212 *δέμας*] *γρ. πόδα ἢ γόνυ* a[1] (i. e. adscripsit aliquis *γόνυ* ex 12… et eius verbi interpretationem *πόδα*)

προσείχεθ᾽ ὥστε κισσὸς ἔρνεσιν δάφνης
λεπτοῖσι πέπλοις, δεινὰ δ᾽ ἦν παλαίσματα·
ὁ μὲν γὰρ ἤθελ᾽ ἐξαναστῆσαι γόνυ,
ἡ δ᾽ ἀντελάζυτ᾽· εἰ δὲ πρὸς βίαν ἄγοι,
σάρκας γεραιὰς ἐσπάρασσ᾽ ἀπ᾽ ὀστέων.
χρόνῳ δ᾽ ἀπέστη καὶ μεθῆχ᾽ ὁ δύσμορος
ψυχήν· κακοῦ γὰρ οὐκέτ᾽ ἦν ὑπέρτερος.
κεῖνται δὲ νεκροὶ παῖς τε καὶ γέρων πατὴρ
πέλας, ποθεινὴ δακρύοισι συμφορά.
καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου,
γνώσει γὰρ αὐτὴ συμφορᾶς ἀναστροφήν.
τὰ θνητὰ δ᾽ οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν,
οὐδ᾽ ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
δοκοῦντας εἶναι [καὶ μεριμνητὰς λόγων
τούτους μεγίστην] μωρίαν ὀφλισκάνειν.
θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ᾽ ἐπιρρυέντος εὐτυχέστερος
ἄλλου γένοιτ᾽ ἂν ἄλλος, εὐδαίμων δ᾽ ἂν οὔ.

ΧΟ. *ἔοιχ᾽ ὁ δαίμων πολλὰ τῇδ᾽ ἐν ἡμέρᾳ*
κακὰ ξυνάψειν ἐνδίκως Ἰάσονι.

1215 *ἐξανασπάσαι* vel *ἐξαπαλλάξαι* Nauck *γόνυ*] *γρ. δέμας* b[s], e 1216 *ἀντελάζυτ᾽* S et lemma scholii] *ἀντελάζετ᾽* p et cet. 1218 *ἀπέσ*[illegible] liger (Valckenaer), coll. frg. 961; an *ἀπεῖπε*? cf. Hipp. 1353 1221 *δακρύοι* S schol. Chr. pat. 1112] *δακρύουσι* B C a; 'v. corr.' Nauck (Prinz) 1223 *γ* *γρ. γλώσσῃ* schol.; v. ad 1227 *συμφορᾶς* ego] *ζημίας* *ἀναστοφήν* müller] *ἀποστροφήν*. Schol.: *τὴν ἀντανάκλασιν τῆς συμφορᾶς, ἧς δέ* et *γνώσῃ ἐπαναστρεφομένην εἰς σὲ τὴν ζημίαν καὶ τὴν συμφοράν*. Kir *ἀντιστροφήν* ex Chr. pat. 800 1225-1227 'mihi suspecti. conficti vi e 580 sq.' Prinz; *καὶ* - *μεγίστην* ego seclusi ad *τούτους* refero 1223 v. l. *γλώσσῃ*, ex v. 582 repetitam *μωρίαν* Musurus] *ζημί* V. 581 illatum 1228 *θνητῶν*] *φύσει* Prinz *εὐδαίμων ἀνήρ*] *ὄλβιος* Chr. pat. 1016 1229 *εὐκλεέστερος* Chr. pat. 1017 1230 *ὄλβιος δ* *Chr. pat. 1018* 1232 *ξυνάψειν* CaPl] ξυνάπτειν BE Chr. pat. 109[illegible]
* * *ειν* L

[ὦ τλῆμον, ὥς σου συμφορὰς οἰκτείρομεν,
κόρη Κρέοντος, ἥτις εἰς Ἅιδου πύλας
οἴχει γάμων ἕκατι τῶν Ἰάσονος.]

Μ. φίλαι, δέδοκται τοὔργον ὡς τάχιστά μοι
παῖδας κτανούσῃ τῆσδ' ἀφορμᾶσθαι χθονὸς
καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
ἀλλ' εἶ' ὁπλίζου, καρδία· τί μέλλομεν;
[τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;]
ἄγ' ὦ τάλαινα χεὶρ ἐμή, λαβὲ ξίφος,
λάβ', ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
καὶ μὴ κακισθῇς μηδ' ἀναμνησθῇς τέκνων
ὡς φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖς σφ' ὅμως
φίλοι γ' ἔφυσαν, δυστυχὴς δ' ἐγὼ γυνή.

Χ. ἰὼ Γᾶ τε καὶ παμφαὴς   στρ.
ἀκτὶς Ἀλίου, κατίδετ' ἴδετε τὰν
οὐλομέναν γυναῖκα, πρὶν φοινίαν
τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·

1233-1235 in susp. voc. Weil, ex priore Medea illatos esse susp. Weckn, ego seclusi   1234 πύλας] δόμους S, Chr. pat. 878, 1505 ('Hipp. 895 Ἅιδου πύλας A, δόμους cet.' Wecklein)   1237 κτανούσῃ L, αν L[1s] 40-1241 secl. Valckenaer, cf. ad 1062-1063   1243 secl. Nauck, usum Eurip. ıstrat Stadtmüller coll. Alc. 255, Rhes. 532, El. 757, Hec. 1094, Or. 275; μὴ οὐ msley, κἀναγκαῖ' ἀκμὴ π. κ., coll. El. 683, Hec. 1042, Aesch. Sept. 98, Stadtiller, qui μὴ οὐ nusquam post μέλλειν apud Eurip. legi monet   1244 χειρὶ Bothe   1247 ὥς σφ' ἔτικτες Brunck   1248 λαθοῦ CSb[s]] λάθου Ea, λαβοῦ   1249 κτείνεις S   1250 φίλοι γ' P] δ' L, τ' cet.   1251 τε om. CE 52 Ἁλίου C (Hermann)] Ἀελίου   κατίδετ' ἴδετε c Chr. pat. 1080 κατίδε * * * L, κατίδετε l cet. (κατείδετε a et lemma scholii)   1253 οὐλομέναν 'l] ὀλομέναν p cet.   φοινίαν Aldina] φονίαν

σᾶς γὰρ χρυσέας ἀπὸ γονᾶς
ἔβλαστεν, θεοῦ δ' αἷμα ⟨πέδοι⟩ πίτνειν
φόβος ὑπ' ἀνέρων.
ἀλλά νιν, ὦ φάος διογενές, κάτειρ-
γε κατάπαυσον, ἔξελ' οἴκων τάλαι-
ναν φονίαν τ' Ἐρινὺν ὑπ' ἀλαστόρων.

μάταν μόχθος ἔρρει τέκνων, ἀντιστρ.
μάταν δὴ γένος φίλιον ἔτεκες, ὦ
κυανεᾶν λιποῦσα Συμπληγάδων
πετρᾶν ἀξενωτάταν εἰσβολάν.
δειλαία, τί σοι φρενοβαρὴς
χόλος προσπίτνει καὶ ζαμενὴς ⟨φόνου⟩
φόνος ἀμείβεται;
χαλεπά τοι βροτοῖς ὁμογενῆ μιά-
σματ'· ἐπάγει γὰρ αὐτοφόνταις ξυνῳ-
δὰ θεόθεν πίτνοντ' ἐπὶ δόμοις ἄχη.

1255 χρυσέας ἀπὸ Musgrave] ἀπὸ χρυσέας. τᾶς σᾶς γ. ἀ. χ. | σᾶς γὰρ σπέρμα χ. Wecklein (uterque φρενῶν βαρὺς 1265) 1256 | αἷμα CSb schol.] αἷμα τι E, αἵματι cet. ⟨πέδοι⟩ π. Wecklein] ⟨χ Hermann, αἷμ' ⟨ἐπὶ γᾷ⟩ πεσεῖν Allen 1257 φόβος] φθόνος Paley, ἄγος soeth 1258 κάθειργε CB (corr. b) 1259-1260 τάλαιναν φονίαν τ' | φονίαν τάλαινάν τ'. φονῶσαν (Kirchhoff) ἀλαόν τ' Heimsoeth, στ φονίαν Herwerden, πλανατὰν φ. Weil, τε del. Kolster ἐρινὺν E] S, ἐριννύν θ' C ἐρινῦν E[1] cet. 1262 μάταν δὴ ego] ἄρα μάταν μάταν S; μάταν τοι Hermann; μάταν ἄρα Musgrave (inusitata haec forma), μάταν ἆρα Brunck (et ἀκτὶς Ἀελίου 1252) ὦ om. Cl in L 1265 φρενοβαρὴς Seidler] φρενῶν βαρύς. φρένα β. Hermann, Bauer 1266 καὶ] κἀεὶ Leo ζαμενὴς Porson (Weil), cf. schol. So 137] δυσμενής. δυσσεβὴς Nauck ⟨φόνου⟩ | φόνος Wecklein] ⟨φόνου Hermann. ἀμείβεται φόνος l, ἀμείρεται φόνος P 1268 χαλεπὰ] Heimsöth τοι ego] γὰρ 1269 μιάσματ'· ἐπάγει γὰρ ego] μι ἐπὶ γαῖαν. Leo: μιάσμαθ'· ἕπεται δ' ἅμ', Weil: μιάσματ' ἐπέγειρεν, soeth: μ. ἐπὶ γ. ἐκχέασιν σύνοιδα θ. συνῳδᾷ E (συνῳδὰ E[1]), a[2]b[2]; σύμφωνα καὶ ἄξια τοῦ τολμήματος κακὰ schol. 1270 ἐπὶ Heimsoeth δόμους B[1]

'ΙΔΕΣ. *αἰαῖ, αἰαῖ.*⟩
ἀκούεις βοὰν ἀκούεις τέκνων; *στρ.* 1273
ἰὼ τλᾶμον, ὦ κακοτυχὲς γύναι. 1274
ΙΣ. *οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας;* 1271
ΙΣ. *οὐκ οἶδ᾽, ἀδελφὲ φίλτατ᾽· ὀλλύμεσθα γάρ.* 1272
παρέλθω δόμους; ἀρῆξαι φόνον
δοκεῖ μοι τέκνοις.
ΙΔ. *ναί, πρὸς θεῶν, ἀρήξατ᾽· ἐν δέοντι γάρ·*
ὡς ἐγγὺς ἤδη γ᾽ ἐσμὲν ἀρκύων ξίφους.
τάλαιν᾽, ὡς ἄρ᾽ ἦσθα πέτρος ἢ σίδα-
ρος, ἅτις τέκνων ὃν ἔτεκες
ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.

μίαν δὴ κλύω μίαν τῶν πάρος *ἀντιστρ.*
γυναῖκ᾽ ἐν φίλοις χέρα βαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ᾽ ἡ Διὸς
δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλῃ.
πίτνει δ᾽ ἁ τάλαιν᾽ ἐς ἅλμαν φόνῳ
τέκνων δυσσεβεῖ,
ἀκτῆς ὑπερτείνασα ποντίας πόδα,
δυοῖν τε παίδοιν συνθανοῦσ᾽ ἀπόλλυται.
τί δῆτ᾽ οὖν γένοιτ᾽ ἂν ἔτι δεινόν; ὦ

.271-1292 strophicos esse intellexit Seidler 1271 ⟨*αἰαῖ αἰαῖ*⟩] exclama- ‹ puerorum inserendas et 1271-1272 post 1273-1274 ponendos esse vidit ıkl. Post *οἴμοι τί δράσω* *ΠΑΙΣ* inserit (omisso v. 1272) Hense del. Nauck et versui 1271 *ΠΑΙΔΕΣ* praefigit *παῖς* a] *ἕτερος παῖς* cet. ?ost 1274 duos senarios, quibus responderent vv. 1284-1285, excidisse cit Schoene; eo referenda esse verba *ὦ θερμόβουλον σπλάγχνον*, quae ır. Med. inveniri dicit schol. Aristoph. Ach. 119, putat Hense 1276 *ις μοι δοκεῖ* Weil, ut verba verbis accuratius respondeant 1277 *οἱ* *παῖδες* E, *παῖδες* cet.] *ΠΑΙΣ* Hermann 1278 *ἄλλος* b, nihil praefixum in *ΠΑΙΣ* Hermann 1280 *ὃν* Seidler] *ὧν* 1281 *μοίρᾳ*] *τόλμᾳ* Nauck *ες* Mekler 1283 *γυναῖκ᾽ ἐν* Pl] *γυναικ* * * * L, γυναικῶν ἐν cet. χέρα *a, χ * ρα L]* *χεῖρα* l cet. προσβαλεῖν S 1285 ἐξέπεμπε Ca *ἢ Ea]* *ἡ* S, *ὦ* BC 1289 τε] δὲ P, δὴ L παίδων C 1290 δῆτ᾽ Elmsley\

γυναικῶν λέχος πολύπονον,
  ὅσα βροτοῖς ἔρεξας ἤδη κακά.

ΙΑ. γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἕστατε στέγης,
ἆρ' ἐν δόμοισιν ἡ τὰ δείν' εἰργασμένη
Μήδεια τοισίδ', ἢ μεθέστηκεν φυγῇ;
δεῖ γάρ νιν ἤτοι γῆς [σφε] κρυφθῆναι κάτω,
ἢ πτηνὸν ἆραι σῶμ' ἐς αἰθέρος βάθος,
εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
[πέποιθ' ἀποκτείνασα κοιράνους χθονὸς
ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;]
ἀλλ' οὐ γὰρ αὐτῆς φροντίδ' ὡς τέκνων ἔχω·
[κείνην μὲν οὓς ἔδρασεν ἔρξουσιν κακῶς,]
ἐμῶν δὲ παίδων ἦλθον ἐκσώσων βίον,
μή μοί τι δράσωσ' οἱ προσήκοντες γένει,
  μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
ΧΟ. ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας,
  Ἰᾶσον· οὐ γὰρ τούσδ' ἂν ἐφθέγξω λόγους.
ΙΑ. τί δ' ἔστιν; οὔ που κἄμ' ἀποκτεῖναι θέλει;

δή ποτ'. δέ ποτ' Seidler 1291 πουλύπονον (et ὧν ἔτεκες 1280) Wecklein 1292 ὅσα Seidler] ὅσα δὴ BC, ὅσσα δὴ cet. 1295 τοισίδ' Canter] τοῖσιν S, τοῖσδε γ' B (σι b[s]) Ea, τῇσδε γ' C; cf. Hipp. 1393. τοῖσδ' ἔτ' Wecklein, Μήδει' ἔτ' ἐστὶν Heimsöth 1296 νιν ἤτοι] τανῦν ἢ Chr. pat. 281, πρὶν ἤτοι Wecklein σφε ego secl., medela incerta; γῆς γε Elmsley, γῆς καλυφθῆναι Weil; an γῆς ἀποκρύψαι? Glossa σφε κρυφθῆναι fort. adscr. ex Hipp. 1247 1297 βάθος] πτύχαις B[1s] 1299-1300 in susp. voc. Dindorf, secl. Nauck; videntur ex priore Medea illati esse τυράννους BCE Scholiastam, qui δεῖ γὰρ αὐτὴν — ἀναπτῆναι, εἰ μὴ ἄρα πέποιθε μὴ δώσειν δίκην τῶν τολμηθέντων et ἀντὶ τοῦ φεύξεται (leg. ἀντὶ τοῦ: οὐ φ.) ἀτιμώρητος, sunt qui δώσειν πέποιθ' et φεύξεται legisse suspicentur; δώμασ' οὐ δώσειν δ. | πέποιθ' — , κἀθῷος — φεύξεσθαι Hartung, μὴ δόμοις δώσειν δ. πέποιθ' ἀποκτείνασά τε τυράννους — φεύξεσθαι Kvičala, εἰ μή τι τολμῶν τῶνδε μὴ δώσειν δ. πέποιθε καὶ κτείνασα — φεύξεσθαι Heimsöth 1302 ego seclusi ἔρξουσι BCaP (corr. b) 1303 ἐμῶν] ἐγὼ Bauer ἐκσῶσαι Cp, ἐκσώ * * P 1304 μοι] νιν Elmsley, μοί τι δρῶσί σφ' Vitelli, coll. 283 1306 οἷ] ἢ C
1307-1308 in susp. voc. Lenting 1308 οὔπου ego, cf. 695] ἤ που, ἤ πω *Chr. pat. 107*

ΧΟ. *παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.*
ΙΑ. *οἴμοι τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.*
ΧΟ. *ὡς οὐκέτ' ὄντων σῶν τέκνων φρόντιζε δή.*
ΙΑ. *ποῦ γάρ νιν ἔκτειν', ἐντὸς ἢ 'ξωθεν δόμων;*
ΧΟ. *πύλας ἀνοίξας σῶν τέκνων ὄψει φόνον.*
ΙΑ. *χαλᾶτε κλῇδας ὡς τάχιστα, πρόσπολοι,*
ἐκλύεθ' ἁρμούς, ὡς ἴδω διπλοῦν κακόν.
[τοὺς μὲν θανόντας· τὴν δὲ τίσομαι φόνῳ.]

ΜΗ. *τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,*
νεκροὺς ἐρευνῶν κἀμὲ τὴν εἰργασμένην;
παῦσαι πόνου τοῦδ'· εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
λέγ' εἴ τι βούλει, χειρὶ δ' οὐ ψαύσεις ποτέ.
τοιόνδ' ὄχημα πατρὸς Ἥλιος πατὴρ
δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.
ΙΑ. *ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι*
θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει,
ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
ἔτλης τεκοῦσα κἄμ' ἄπαιδ' ἀπώλεσας·
καὶ ταῦτα δράσασ' ἥλιόν τε προσβλέπεις
καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
ὄλοι'· ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν,
ὅτ' ἐκ δόμων σε βαρβάρου τ' ἀπὸ χθονὸς
Ἕλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,

1313 *φόνον*] *μόρον* Chr. pat. 122 1315 *ἐκλύεθ'* in ras. C, videtur fuisse *ἐκλύσαθ'* (*λύσατε* schol.). Hipp. 808-809 *χαλᾶτε - ἐκλύσαθ'* omnes libri *διπλᾶ κακά* CE 1316 seclus. Schenkl; cf. Hipp. 810 *τίσωμαι* S (*καὶ τήνδε τίσομαι φησί* schol.); *τίσουσαν φόνον* Weil (*δίκην* Bauer), *λυσσῶσαν φόνῳ* Herwerden, *πινῶσαν φόνῳ* Heimsöth, *καὶ τοὺς θανόντας τῆσδε τίσωμαι φόνῳ* Hartung 1317 *τούσδε — λόγους* Chr. pat. 121, 437. cf. Aristoph. Nub. 1397; *τάσδε — ὀπὰς* Verrall 1320 *λέξον, τί?* ex 610 sqq. vid. corrupt. esse 1321 *ὄχημα*] *ἐπὶ ὕψους γὰρ παραφαίνεται ἡ Μήδεια, ὀχουμένη δρακοντίνοις ἅρμασι καὶ βαστάζουσα τοὺς παῖδας* schol. 1322 ῥῦμα Wolf *metri causa* *1326 ἐχοῦσα* Hirzel *καί μ'* CE 1328 τλᾶσα] δρῶσα *1330 ἐκ δόμου* S; *ἔκνομον* Verrall, cf. 538

πατρός τε καὶ γῆς προδότιν ἥ σ᾽ ἐθρέψατο.
τὸν σὸν δ᾽ ἀλάστορ᾽ εἰς ἔμ᾽ ἔσκηψαν θεοί·
κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον
τὸ καλλίπρῳρον εἰσέβης Ἀργοῦς σκάφος.
ἤρξω μὲν ἐκ τοιῶνδε, νυμφευθεῖσα δὲ
παρ᾽ ἀνδρὶ τῷδε καὶ τεκοῦσά μοι τέκνα
  εὐνῆς ἕκατι καὶ λέχους σφ᾽ ἀπώλεσας.
οὐκ ἔστιν ἥτις τοῦτ᾽ ἂν Ἑλληνὶς γυνὴ
ἔτλη ποθ᾽, ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
γῆμαί σε — κῆδος ἐχθρὸν ὀλέθριόν τ᾽ ἐμοί —
λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος
Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
ἀλλ᾽ οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
δάκοιμι· τοιόνδ᾽ ἐμπέφυκέ σοι θράσος·
ἔρρ᾽, αἰσχροποιὲ καὶ τέκνων μιαιφόνε.
ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον᾽ αἰάζειν πάρα,
ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
οὐ παῖδας οὓς ἔφυσα κἀξεθρεψάμην
  ἕξω προσειπεῖν ζῶντας, ἀλλ᾽ ἀπώλεσας.
ΜΗ. *μακρὰν ἂν ἐξέτεινα τοῖσδ᾽ ἐναντίον*
λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο
οἷ᾽ ἐξ ἐμοῦ πέπονθας οἷά τ᾽ εἰργάσω·
σὺ δ᾽ οὐκ ἔμελλες τἄμ᾽ ἀτιμάσας λέχη
τερπνὸν διάξειν βίοτον ἐγγελῶν ἐμοί,
οὐδ᾽ ἡ τύραννος, οὐδ᾽ ὁ σοὶ προσθεὶς γάμους

1333 *τὸν σὸν δ᾽* S] *τὸν σὸν* cet. (*τὸ σὸν* a, *ν* add. a[1]), *τὴν σὴ τυχίαν* schol.; *τοσόνδ᾽* Kvičala, *τοιόνδ᾽* Nauck, *τοῖόν σ᾽* Kirchhoff, *τι* Wecklein, *τῶν σῶν σ᾽* Weil, *τότ᾽ οὖν* Stadtmüller; sed cf. Phoen. 1556 Herc. f. 1234   1339 *ἔστι τοῦτ᾽ ἥτις ἂν* B, *ἔστι τοῦτ᾽ ἂν ἥτις* Herma *ἑλλήνων* C   1341 *κέρδος* C   1346 *ἔρρ᾽, αἰσχροποιέ*: ⟨*τὸ χ*⟩ *ὅτι δο στίχον τοῦτον εἰπὼν Εὐριπίδης ἐκβεβλῆσθαι·* [*διὸ καὶ κεχίασται.*]   135 *λεσας* Wecklein] *ἀπώλεσα*   1351 *μακρὰν δ᾽ ἂν* E, *ἢ μάκρ᾽ ἂν* S (*ἣ* L) *ἂν* schol.   *ἐναντία* Sb[s] schol., *ἐναντίαν* C, *ἐναντίοις* E   1356 *οὐδ᾽* Elmsley] *οὔθ᾽ — οὔθ᾽*   *προσθεὶς* S] *προθεὶς* cet.   *γάμον*

Κρέων, ἄτιμον τῆσδέ μ' ἐκβαλὼν χθονός.
πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει
καὶ Σκύλλαν ἣ Τυρσηνὸν ᾤκησεν πέτρον·
τῆς σῆς γὰρ ὡς χρὴ καρδίας ἀνθηψάμην.
Ι. καὐτή γε λυπεῖ καὶ κακῶν κοινωνὸς εἶ.
Μ. σάφ' ἴσθι· λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.
Ι. ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.
Μ. ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.
Ι. οὔτοι νυν ἡμὴ δεξιά σφ' ἀπώλεσεν.
Μ. ἀλλ' ὕβρις οἵ τε σοὶ νεοδμῆτες γάμοι.
Ι. λέχους σφέ γ' ἠξίωσας εἵνεκα κτανεῖν.
Μ. σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;
Ι. ἥτις γε σώφρων· σοῦ δὲ πάντ' ἐστὶν κακά.
Μ. οἵδ' οὐκέτ' εἰσί· τοῦτο γάρ σε δήξεται.
Ι. οἵδ' εἰσίν, οἶμαι, σῷ κάρᾳ μιάστορες.
Μ. ἴσασιν ὅστις ἦρξε πημονῆς θεοί.
Ι. ἴσασι δῆτα σήν γ' ἀπόπτυστον φρένα.
Μ. στύγει· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.
Ι. καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ' ἀπαλλαγαί.
Μ. πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
Ι. θάψαι νεκρούς μοι τούσδε καὶ κλαῦσαι πάρες.

1357 ἄτιμον Cb^{s}Ea] ἀτίμως B, ἀνατεὶ S, ἀνατὶ l et alter schol., ἄτιμον l. alter τῆσδ' ἔμ' B ἐκβαλὼν Kirchhoff] ἐκβαλεῖν. Totum v. in susp. voc. ·cklein 1359 πέτρον Weil] πέδον. πέτραν Elmsley coll. Aesch. Ag. 1234, ·. 435; πόρον Musgrave, qui σπέος legisse suspicatur eum, qui σπηλ (λ^{s}, = σπή-ον) minio super πέδον scripsit in E 1360 χρῆν Reiske 1362 μὴ σὺ ελᾷς C, σὺ μὴ γελᾷς BE; λυσιτελεῖ δὲ τὸ ἄλγος, ἕως σὺ μὴ ἐγγελᾷς ol. 1365 οὔτοιννν C, οὔτοί νυν B, οὔτοι ν*ν E] οὐ τοίνυν Sb^{s}a^{2}, οι νιν E^{1}a, οὔτοι νιν ἡ 'μὴ δεξιὰ γ' ἀπ. Hermann 1366 νεόδμητοι · 1367 γέ φ' ἠξίωσας C, σφε κἠξίωσας S (σφε in ras. man. rec. L), ἐπηξίωσας Elmsley, σφ' ἄρ' ἠξ. Dindorf εἵνεκα] οὕνεκα, cf. ad 88 νεῖν. Prinz] κτανεῖν; 1369 σοῦ Wecklein] σοί 1371 οἶμαι Tyrwhitt ıdtmüller coll. Soph. Ant. 1050)] ὤμοι BC schol., ᾤμοι E, οἴμοι cet., ὠμοί ges, οὐμοί Hermann, εἰσὶν Köchly 1374 στύγει Weil] στυγῇ 1375 ῥᾴ- B (οι b^{s}) 1377 καῦσαι a; ψαῦσαι coll. 1403, 1412 Prinz

ΜΗ. οὐ δῆτ', ἐπεί σφας τῇδ' ἐγὼ θάψω χερί,
φέρουσ' ἐς Ἥρας τέμενος Ἀκραίας θεοῦ,
ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
τύμβους ἀνασπῶν· γῇ δὲ τῇδε Σισύφου
σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομεν
τὸ λοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
σὺ δ', ὥσπερ εἰκός, κατθανεῖ κακὸς κακῶς,
Ἀργοῦς κάρα 'πὶ λειψάνῳ πεπληγμένος,
πικρὰς τελευτὰς τῶν ἐμῶν γάμων ἰδών.

ΙΑ. ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων
φονία τε Δίκη.

ΜΗ. τίς δὲ κλύει σου θεὸς ἢ δαίμων,
τοῦ ψευδόρκου καὶ ξειναπάτου;

ΙΑ. φεῦ φεῦ, μυσαρὰ καὶ παιδολέτορ.

ΜΗ. στεῖχε πρὸς οἴκους καὶ θάπτ' ἄλοχον.

ΙΑ. στείχω, δισσῶν γ' ἄμορος τέκνων.

ΜΗ. οὔπω θρηνεῖς· μένε καὶ γῆρας.

ΙΑ. ὦ τέκνα φίλτατα. ΜΗ. μητρί γε, σοὶ δ' οὔ.

ΙΑ. κἄπειτ' ἔκανες; ΜΗ. σέ γε πημαίνουσ'.

ΙΑ. ὤμοι, φιλίου χρῄζω στόματος
παίδων ὁ τάλας προσπτύξασθαι.

ΜΗ. νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζει,
τότ' ἀπωσάμενος. ΙΑ. δός μοι πρὸς θεῶν

1378-1379 *χερί. φέρω σφ'?* 1380 *αὐτοὺς* Sb, Chr. pat. 1280] *αὐτῶ* *αὐτοῦ* Verrall *πολεμίων*] *δυσμενῶν* Chr. pat. l. l. 1381 *τύμβων* (-... 1382 *τέλος* schol. Hom. Il. *K* 56. Etym. M. p. 750 *προσάψομεν* B(*προσάψομαι* ESb (-*μεν* b²) Chr. pat. 968 (qui *προσάψεται*), *προσο* Choerob. epim. p. 112, *προστάξομεν* Naber 1386-1389 secl. Nauck, Bothe 1387 *κάρα 'πὶ* ego] *κάρα σὸν* (glossa); *σῆς* Wecklein 1388 *γάμων* Weil, *τῶνδε νεογάμων γάμων* Herwerden 1389 *ἀλλὰ σ'* Wec *ἀλλά σ'* 1392 *ξειναπάτου* Bl] ξειναπάτα B¹ˣSa, ξεναπάτα E, ξυνω C 1398 *ἔκανες* Elmsley] *ἔκτανες* (ἔκτας l) 1399 ὤμοι BC\ ᾤμοι *αί* Sb*

μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.
ΜΗ. οὐκ ἔστι· μάτην ἔπος ἔρριπται.
ΙΑ. Ζεῦ, τάδ᾽ ἀκούεις ὡς ἀπελαυνόμεθ᾽,
οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
καὶ παιδοφόνου τῆσδε λεαίνης;
ἀλλ᾽ ὁπόσον γοῦν πάρα καὶ δύναμαι
τάδε καὶ θρηνῶ κἀπιθεάζω,
μαρτυρόμενος δαίμονας ὥς μοι
τέκν᾽ ἀποκτείνασ᾽ ἀποκωλύεις
ψαῦσαί τε χεροῖν θάψαι τε νεκρούς,
οὓς μήποτ᾽ ἐγὼ φύσας ὄφελον
πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.
ΧΟ. πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,
πολλὰ δ᾽ ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ᾽ οὐκ ἐτελέσθη,
τῶν δ᾽ ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ᾽ ἀπέβη τόδε πρᾶγμα.

1404 ἔπος Ca] δ᾽ ἔπος BE, λόγος Sb[s] 1405 ἀκούεις B, γρ. ὁρᾷς b[s]; schol. in a: 'γρ. ἰὼ (l. ὦ) Ζεῦ τάδ᾽ ἀκούεις (l. ὁρᾷς)' Kirchhoff; ex. Hipp. 1363 videtur illatum Elmsleio 1409 κἀπιθεάζω Blomfield] κἀπιθοάζω 1411 τέκνα κτείνασ᾽ S 1413 ὄφελον B] ὤφελον b cet. 1416 ἄελπτα Stob. fl. 111, 6

ἔστι γὰρ ἐν τῇ Μηδείᾳ Εὐριπίδου· ὦ θερμόβουλον σπλάγχνον schol. Aristoph. Ach. 119. Fuerunt haec fortasse in Medea priore; cf. 108 et ad 1274.

METRA.

Prologus: 1—130.

scaena I: 1—48, trimetri iambici: 20 (14; 2, 1, 3), 20 (14 [4, 6, 4]; 3). 3.*)

scaena II: 49—95, trim. iamb.: 4. 6 (3, 3), 8 (1, 1, 2; 1. 1, 2), 7, 8 (2 × 2), 6 (3, 3). 7 (1, 2, 3, 1).

scaena III: 96—130, anapaesti: 2, 2+10 (3 + 2, 5). 4, 4+12 (3 4 + 2).

Parodus: 131—213.

pars I: 131—138, chori proodus.

periodus 1: ⏑⏑ ⏓́ – – ⏑⏑ ⏓́ ⏑⏑ – } anap.
– ⏓́ – –

per. 2: ⏓́ ⏑⏑ – ⏑⏑ ⏓́ ⏑⏑ – ⏑⏑ ⏓́ – ∧ } hexam.
⏓́ ⏑⏑ – ⏑⏑ ⏓́ ⏑⏑ – ⏑⏑ ⏓́ – ∧ } dact.

per. 3: ⏓́ ⏑⏑ – ⏑⏑ [– ⏑⏑] ⏓́ ⏑⏑ – ⏑⏑ [pentam.] tetram. dact.
⏑ ⏗ ⏓́ ⏑ – ⏑ ⏓́ – ∧ dim. troch.

pars II: 139—147, nutricis et Medeae anap.: 5, 4 (2, 2).

pars III: 148—159, chori stropha, = 173—184.

per. 1 (parast. 1): – ⏑́⏑ – – – ⏓́ ⏑⏑ – } anap.
– ⏓́ – – – ⏓́ – –
– ⏓́ – –

per. 2 (coryph.): – ⏓́⏑ ⏑ – ⏑ ⏓́ – } dim. log.
– ⏓́⏑ ⏑ – ⏑ ⏓́ –
– ⏓́⏑ ⏑ – ⏑ ⏓́ –
⏒ ⏓́⏑ ⏑ – – dip. log.

---

*) *In 1—212 is lusus videtur numeris subesse, ut 1 puerorum 2 Medeae, 3 nutricis, 4 paedagogi, inde a v. 131 chori. Quibus numeris exprimatur, explicavi in progr. schol. Altonensi 1885.*

per. 3 (parast. 2): –́ ⏑ – ⏑ ⏗ trip. troch.
–́⏑ ⏑ – ⏑ – – } trip. log.
–́⏑ ⏑ – ⏑ – –
⏘ ⏗ –́⏑ ⏑ – – –́ ⏑ ⏗ } hexap. log.
⏘ ⏗ –́⏑ ⏑ – ⏑ ⏘ – –

Periodum tertiam W. Christ, cui non probentur coniecturae meae, vata librorum auctoritate ita discribit:

– ⏑ –́ ⏑ ⏗ trip. troch.
–́⏑ ⏑ – ⏑ ⏘ – } tetrap. log.
– –́⏑ ⏑ – ⏑ ⏘ –
– –́⏑ ⏑ – ⏑ ⏘ ⏗
–́ ⏑ – dip. troch.
–́ – –⏑ ⏑ –́ ⏑ ⏗ ⏘ – ∧ hexap. log.

pars IV: 160—172: Medeae et nutr. anap.: 8 (6, 2), 5 (3, 2).
pars V: 173—184, chori antistr., = 148—159.
pars VI: 184—203, nutricis anap.: 2. 4, 5, 4, 5 (3, 2).
pars VII: 204—213, chori epodus.

per. 1: ⏑⏑ ⏘ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – trim. iamb.
⏑ ⏑́⏑ ⏑ ⏑⏑ ⏑ ⏑́⏑ ⏑ – dim. iamb.
⏑ –́ ⏑ –⏑ ⏑ –́⏑ ⏑ – – dim. log.
per. 2: ⏑́⏑ ⏑ – ⏑ ⏑́⏑ ⏑ – ⏑ } dim. troch.
–́ ⏑ – ⏑ –́ ⏑ ⏓ ∧
per. 3: –́⏑ ⏑ – ⏑ dip. log.
–́⏑ ⏑ –⏑ ⏑ – ⏑ trip. log.
⏑́⏑ ⏑ ⏑⏑ ⏑ –́ ⏑ ⏗ dim. troch.
–́ – –⏑ ⏑ ⏘ – ∧ dim. log.

Episodium I: 214—409.

ena I: 214—270, trim. iamb.: 5, 3, 3, 5 (3, 2). 2. 3, 3, 3, 3.
7 (3, 4), 7 (3, 4). 4.

scaena II: 267*)—356, trim. iamb.: 10 (4 + 6). 5, 10 (5, 5), 10 (
5. 7, 8 (3, 2, 3), 16 (8 × 2), 8 (4, 2 × 2), 7.

scaena III: 357—409, anap. et trim. iamb: 7 (6?). 2. 5, 5, 5, 5
(3, 3), 6, 6 (3, 3), [3].

Stasimum I: 410—445.

stropha et antistr. I: 410—420 = 421—430.

per. 1: ∪ ´– ∪∪ – ∪∪ – – ´– ∪ – –
´– ∪ – – ´– ∪∪ – ∪∪ – ∧
per. 2: ´– ∪∪ – ∪∪ – – ´– ∪ –
´– ∪∪ – ∪∪ – ⏑̲
per. 3: ´– ∪ – – ´– ∪∪ – ∪∪ – –
´– ∪ – ⏔
per. 4: ´– ∪ – – ´– ∪ – – ´– ∪ ⊔
´– ∪∪ – ∪∪ – – ´– ∪ – ∪ ´⊔ – ∧

} dactylo-epitr. dipodiae et tr

stropha et antistr. II: 431—438 = 439—445.

per. 1: ∪ ´– ∪ ⊔ ´–∪ ∪ – ∪ ´⊔ ⊔ hexapod. log.
´–∪ ∪ –∪ ∪ –
∪∪ ´–∪ ∪ – ∪ ´⊔ –
per. 2: – ´–∪ ∪ – ∪ –
– ´–∪ ∪ – ∪ ´⊔ –
– ´–∪ ∪ – ∪ ´⊔ –
per. 3: ⏑̲ ´–∪ ∪ – ∪ ´⊔ –
∪ ´–∪ ∪ ⊔ – ∧

} tetrapod. et tripod. log.

Episodium II: 446—626.

pars I: 446—464, trim. iamb.: 5, 4, 4, 5.

pars II: 465—521, trim. iamb.: 3, 7. 4, 3, 3, 2. 4, 4, 3.
(4, 3), 7. 4. 2.

pars III: 522—578, trim. iamb.: 4; 3, 3; 4. 3, 3, 3. 6 (2, 4)
4, 6. 7. 3 (3, 7 in initio partis II et 7, 3 in fine partis

*) *V. 267—270 ut sententiis ita numeris non solum ad ea per*
quae praecedunt, sed etiam ad ea, quae sequuntur.

pars IV: 579—626, trim. iamb.: 5 (3, 2), 2. 5 (2, 3). 7 (2, 5). 5 (2, 3). 7 (2, 5×1). 9 (6, 3). 4, 4.

Pars I (18 vv.) = $^1/_3$ partis II (54 vv.); pars II = pars III; eundem versuum numerum (54) efficeret diverbium partis IV cum duobus interloquiis chori, si coryphaeus 520 tres versus diceret ut 576.

Stasimum II: 627—662.

stropha et antistr. I: 627—634 = 635—642.

per. 1: ⏑ –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑ ⌞
–́ ⏑⏑ – ⏑⏑ – ⏒
–́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
per. 2: –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – ⏑ ⌞́ ⏒ ∧

} dactylo-epitr., dipodiae et trip.

stropha et antistr. II: 643—651 = 652—662.

per. 1: –́⏑ ⏑ ⌞ –́⏑ ⏑ ⌞
–́⏑ ⏑ – ⏑ ⌞́ – } tetrapod. log.

per. 2: ⏑⏑ –́⏑ ⏑ – ⏑ – ⏑ tripod. log.

–́ ⏑ – ⏑ – –
–́ ⏑ ⏑⏑ ⏑ – } tripod. troch.

per. 3: ⏑⏑ –́⏑ ⏑ – ⏑ –́ ⏑ ⌞ ⌞
–́ ⏑ – – –́⏑ ⏑ – ⏑ ⌞ } pentap. log.

–́ ⏓ –⏑ ⏑ –́ ⏑ ⌞
–́⏑ ⏑ – ⏑ ⌞́ – ∧ } tetrap. log.

Episodium III: 663—823.

scaena I: 663—763, trim. iamb. et anap. chori: 2, 2; 7, 8, 7. 10, 10 (5×2, 5×2). 10 (5, 5). 4, 4. 10 (3, 3, 4). 5, 5, 2, 5; 5.

scaena II: 764—823, trim. iamb.: 7 (3, 2, 2), 7 (2, 2, 3), 8 (3, 2, 3). (4, 4). [5 (2, 3), 4, 4]. 5 (3, 2), 4 (4×1), 4.

Stasimum III: 824—865.

stropha et antistr. I: 824—834 = 835—845.

per. 1: ⏓ –́ ⏑⏑ – ⏑⏑ – ⏓ –́ ⏑ ⌞
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⌞
–́ ⏑⏑ – ⏔ – dactylo-epitr.,
per. 2: – –́ ⏑⏑ – ⏑⏑ – dipodiae et trip.
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –
–́ – – ⏑⏑ –́ ⏑ – –

stropha et antistr. II: 846—855 = 856—865.

per. 1: ⏓ –́⏑ ⏑ –⏑ ⏑ ⌞́ –⏑ ⏑ –́ ⏑ ⌞ hexapod. log.
–́ ⏑ – ⏑ ⌞́ –
– –́⏑ ⏑ – ⏑ –́ –
– –́⏑ ⏑ – ⏑ ⌞́ ⏓
per. 2: – –́⏑ ⏑ ⌞ ⌞́ – tetrapod. log.
– –́⏑ ⏑ – ⏑ ⌞́ –
– –́⏑ ⏑ – ⏑ ⌞́ ⌞
⌞́ –⏑ ⏑ –́ ⏑ ⌞
–́⏑ ⏑ – – dipod. log.

Episodium IV: 866—975.

pars I: 866—907, trim. iamb.: 3, 3. 10, 2, 10. 5, 2, 5. 2

pars II: 908—975, trim. iamb.: 3, 3. 4 (2, 2), 4 (2, 2). 9
1, 2. 1, 2), 9 (2, 5, 2). 4 (2×1, 2×1). 12 (5, 4, 3), 5, 12 (5,

Stasimum IV: 976—1001.

stropha et antistr. I: 976—981 = 982—988.

per. 1: – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⌞
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – dactylo-epitr.,
per. 2: –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – dipodiae et trip
–́ ⏑ – – –́ ⏑ – – cum clausula troc
per. 3: –́ – – ⏑⏑ – – –́ ⏑ – –
–́ ⏑ ⌞ –́ ⏑ – ⏑ ⌞́ ⏓ ∧